benè multos quæ laudantur ibid. Cæterùm ex illis quæ protulimus constat vocem παλὶν non aliunde veniſſe in Græcam Linguam & locum ἀσιμώμα quàm ex legibus Romanis. 2^d^. Poſt Ulpiani Antiocheni tempora diu perdurâſſe Vocis ἀσιμώμος uſum apud Græcos, hinc liquet. Heſychius, Harpocration, Suidas, Etymologicum Magnum eam quam olim habuit ſignificationem ipſi tribuunt, nullâ τῆ παλὶς explicatione additâ. Deinde Philoxeni Gloſſæ ſatis demonſtrant tam ἀγορανόμον quam ἀσυνόμον locum adhuc ſuum tenuiſſe. Gloſſæ Lat. Græc. *Ædilatus*, ἀσυνομία. *Ædiles*, ἀγορανόμοι, *Ædilis*, ἀγορανόμος, ἀγορονόμος. [Ubi fortè pro ἀγορονόμος legendum eſt ἀσυνόμος.] Gloſſ. Græc. Lat. Ασυνομία, *Ædilatus*. Ασυνόμος, *Jecorus*; quod quid velit, ſanè neſcio. Si divinari liceat, *Viocurus* legerem. Erat enim apud Romanos Viarum curator, cujus officio reſpondebat aliquatenus ἀσυνομία Attica, dictus etiam *Viocurus*. Varro de Ling. Lat. lib. iv. *Quis enim non videt, unde ærifodinæ & viocurrus?* Ita quidem in Edit. Verum Dionyſius Gothofredus rectè monuit legendum eſſe *Viocurus*. Et Joſephus Scaliger quamvis ad locum illum Varronis nihil adnotet, poſteà tamen in Conjectaneis ſuis p. 64. Viocuros per Ædiles interpretatur. Alia quædam de illis tradit Iſaacus Caſaubonus in Notis ad Ælium Spartianum p. 110. nomen verò retinuit. Adeoque neque violenta neque vero abſimilis fuerit emendatio iſta noſtra, pro *Jecoro* Viocorus. 3^tio^. Perſuaſum propè me habeo verbum παλὶν uſque ad Juſtinianum, multo magis Conſtantini Magni temporibus, hoſpes in Græciâ fuiſſe & vix fando auditum. Id ſuadet Papiniani J. C. celeberrimi liber Ασυνομικὸς dictus. Ibi munera & partes Ασυνόμου fusè accuratéque deſcripſit atque expoſuit.



Digitized by Google

Manibus Græcorum Jurisconsultorum unicus assiduè terebatur. Ex eò curas & negotia τῷ Ἀγυιάτῃ καθηκόντων ediscebant. Illi denique supra alios omnes maximus & Doctrinæ ac Auctoritatis cumulus accesserat. Quamobrem dum quotidiè libellum hunc Papinianeum tanto studio & honore Græci versarentur, vix, ut opinor, τὸν ἀγυιάτην, unde Liber ipse nomen suum duxerat, in desuetudinem abiisse fuissent. Posteà verò cum Justiniani ævo & jussu Liber hic unâ cum aliis plurimis in Digesta mutilus transferretur, percrebescens paulatim τῷ Παλῃὸς Vocabulum illud alterum τῷ Ἀγυιάτῃ antiquâsse crediderim. Nostras porro conjecturas mirè confirmat illustrissimus Cangius in Glossario suprà memorato, ubi nobiscum ipse τὸ Παλῃὸς pro Patre Civitatis acceptum numerat inter voces *mediæ & infimæ Græcitatis*, neque ullum scriptorem Justiniano antiquiorem, apud quem extaret, indicavit.

§ 10. SIMILIA sunt illa ejusdem ad Orationem de *falsa Legatione*. Ἰσίον δ' ὅτι ἀριθμῆσιν οἱ Ἀθηναῖοι ἕως τῶν δώδεκα ὡς Ἡμεῖς, ὡς ἔχομεν τὴν χρῆσιν ἐν τῷ κατὰ Τιμοκράτης, ἐν οἷς λέγει, ἑνδέκατον, δωδέκατον τὸν νόμον ἐσθέντα τῶν Κρονίων. Εἶτα λοιπὸν οὐκ ἔτι ὁμοίως Ἡμῖν, ἀλλὰ κατὰ ΠΡΟΣΘΗΚΗΝ ἀριθμῆσιν. Wolfius: *Sciendum autem est numerare Athenienses usque ad duodecim* Ut nos, *cujus rei usum habemus in Oratione Timocratea, cum ait, Undecimo, duodecimo legem tulit Saturnaliorum. Deinceps non jam* ut nos, sed cum additione *numerant*. In his ultimis eò dicit a suis discrepare Athenienses in numerorum ordinalium supputatione à duodecim usque ad viginti, quòd illi κατὰ προσθήκην numerarent, sui non item. Hæc sanè à nemine nisi Romano vel Romano Græco proficisci unquam potuerunt. Nam Græci omnes in numeris ordinalibus à duodecim ad viginti κατὰ προσθήκην sive cum



Digitized by Google

adjectione copulativæ κ, numerabant. Exempla passim & ubique sunt obvia, sufficiunt verò impræsentiarum illa quæ sequuntur. Henricus Stephanus ad calcem Thesauri sui Græci postquam notas numerorum Græcas veteres ex Herodiano produxerat, ex professo deinde agit ipse de Nominibus Ordinalibus, eaque ita recenset post δωδέκαλον, Τρισκαιδέκαλος, Τεσσαρεσκαιδέκαλος, Πενθεκαιδέκαλος, Ἑκκαιδέκαλος, & similiter usque ad viginti. Priscianus in libro de Ponderibus: *Ex his* [sc. numeris cardinalibus] *nascuntur ordinalia nomina hæc, inæqualiter quidem quantum ad vocem* primus & secundus: *æqualiter verò,* tertius, & quartus, &c. undecimus, duodecimus, *ab* undecim & duodecim. *Nam reliqua—declinantur* contra consuetudinem Græcorum, *usque ad* nonum decimum: [sc. inclusivè] *ut* tertiusdecimus, quartusdecimus, quintusdecimus, &c. *Sic omnes sequentes, velut in primitivis ad imitationem* Græcorum *a vicesimo & suprà majori minorem addunt numero plerumque:* ante decem verò minorem *ponunt, quando* composita *accipiuntur, & sub uno accentu proferuntur. Nam licet,* dissolutâ compositione, *diversis accentibus ea proferentes, mutare ordinem,* quomodo & apud Græcos, *& dicere* decimus & septimus, *pro* septimusdecimus, &c. Hìc itaque, ut opinor, manifesta est αὐτοφωρία: suam satis apertè gentem, patriam, & originem enarrator noster indigitavit; certo enim certius est, Ulpianum illum veterem, Rhetorem Antiochenum, nihil istiusmodi unquam aut extulisse aut efferre potuisse.

§ 11. Idem ad Orationem contra Timocratem, προταγωγὴ] Αὐλ τῷ δηλάτωρι. In Romanis vocibus propè profectò noster est exercitatus, & Latinas formulas longè melius quàm Rhetor Ulpianus calluit. Δηλάτωρ, ut primo intuitu patet,



Digitized by Google

Romanæ est tota originis, Romanæ significationis, usûs etiam omnimodo Romani. Hinc Suidas: Δηλάτωρ, ὁ καλήγορ☉· Δηλατωρίαι· παρὰ Ρωμαίοις αἱ εἰσαγγελίαι. Cedrenus in Julio: Δηλάτορας τὰς Δίκβόλους καὶ Συκοφάντας καλοῦσι Ρωμαῖοι. Præterea quis unquam veterum Græcorum Antiochenus ad Græcos etiam scribens Vocabulum Græcum per Romanum interpretaretur? Hoc quidem aliud quid esset quàm (quod absurdissimum certè foret) notum per ignotum exponere? Ulpianus proculdubio, si quidpiam adnotâsset, dixisset vel καλήγορίαν vel εἰσαγγελίαν, hæc enim verba tum temporis longè notiora Græcis erant scriptoribus quam Δηλάτωρ. Ejusdem prorsus generis & pretii sunt illa ad Orat. de Coronâ. Ἐπλανόσια ςάδια] Μίλια ΜΕ. Hæc quidem in Aldinâ, Hervagianâ, & Wolfii editione primâ desiderantur. Mutilo nimirum codice Aldus, Hervagius, & Wolfius usi sunt. Nam commentarii, sicut ab his prodeunt Ulpianei, vix ad dimidiam partem Orationis de Coronâ pertingunt. Neque tâne credibile cuivis fuerit Enarratorem dimidium totum tam præclaræ orationis intactum reliquisse. At supplentur una cum aliis plurimis ex codice Ueteriano & ex eo descripta comparent in editione Benenati per Morellum, & in Wolfii secunda inter Accessiones. Hîc autem noster similem calami sui lapsum paritur improvisus. Annon enim aliquid miri videretur, Rhetorem Græcum ad Græcos scribentem μετρον ἀντὶ Græcum per Romanum exposuisse? Hæc, si quæ alias, indicia sunt νοθείας: & fraudum maximè genuina.

§ 12. Alia sunt quæ Græcum Rhetorem antiquum & Orientis incolam minimè sapiunt. Ad eandem Orat. de Coronâ: Ἐκαλομβαιῶνος☉] Μαρτίου.—Μαιμακτηριῶνος☉ δεκάτῃ φθίνοντος☉] Αὐγούστῳ τῷ Καί-

— Ἐπαφρόδιτον] Ἀθηναΐδα — Βοηδρομιῶνος] Inser. — Θαργηλιῶνος] Ἀπρόλιος — Μίλωνα Μυνιχίωνος ἐν ᾗ νέᾳ] Ἰάνουαρίς Τριακοστῇ — Σκιροφοριῶνος] Malal. Nihil necesse est ut in hoc loco de mensibus Atticis longam criticamque instituamus disputationem, cum Romanis eos ut conferamus, Scaligerique Petaviique cæterorumque chronologorum rationcinia sententiasque eventilemus; satis hoc impræsentiarum illud Enarratori postulo veteri neque temerè neque injuriâ vitio vertere, quòd ubicunque per omnes suos Commentarios mensium Atticorum mentionem facit, generaliter & absolutè (sicut hoc quoque factum videmus) Romanis eos nominibus designet. At hoc etiam contra Græcorum veterum, certè Asiaticorum consuetudinem. Epistola ecclesiæ Smyrnensis antiquissima de martyrio beati Polycarpi: Μαρτυρεῖ δὲ ὁ μακάριος Πολύκαρπος Μηνὸς Ξανθικοῦ δευτέρᾳ ἱσταμένου, πρὸ ἑπτὰ καλανδῶν Martii. [Legendum est cum Siculorum fastorum autore Ἀπριλλίων, uti jampridem monuit Usserius Armachanus]. Hic, ut videtis (nam Halloixius, qui hæc verba in dubium vocavit non est audiendus, uti ostendit Usserius idem χρονικώτατος) Calendæ Romanæ non solæ & simplices nominantur, sed præfixo ab uno eodemque scriptore Macedonum mense Xanthico. Galenus apud Theodorum Gazæum de Mensibus cap. 5. Ἔστι μὲν ὡραιότατον τῆς ἐλάτης τὸ σπέρμα περὶ τροπὰς θερινὰς τοῦ ἡλίου, ὅτε καιρὸς ἐν Ῥώμῃ ὁ καλούμενος μὴν [legere non dubitem μὴν, τοῦτο]. Σεπτεμβρίος ἐστι. Perperam: *Est maturissimum* [rectius *maturissimum*] *tempestivissimumque abietis semen circiter solstitium ortum, quod* tempus Romæ *Septembrem vocant.* Ita Cynicus apud Athenæum, lib. iii. c. 8. ἐν αὐτοῖς ἦν ὁ σοφιστὴς Φιλομαθὴς μέν, ὡς Ῥωμαῖοι λέγουσι, &c. Interpres: *Hic ipse sophista*

*sophista mense Februario, ut* Romani *loquuntur.* Ita Eunapius: Ἡ τρίτη ἦ ἰὼ ἡμέρα τῶν Καλανδῶν, ἃς ἔτω; Ἰαναρίας ἡμέρας Ῥωμαῖοι προσονομάζουσι. Interpres: *Tertius illuxerat dies a calendis Januariis, quas ita* Romani *nuncupant.* Euseb. Hist. Eccl. lib. viii. in Appendice: Ἔτος τῦτο ἰὼ ἐνεακαιδέκατον τῆ Διοκλητιανῆ Βασιλείας, Ξανθικὸς Μὴν, ὃς λέγοιτ' ἂν Ἀπρίλλιος καλὰ Ῥωμαίους &c. Valesio Interprete: *Anno imperii Diocletiani nono ac decimo, mense Xanthico, quem* Romani *Aprilem vocant,* &c. Idem Cap. 1. ibid. Δεσίε Μηνὸς ὀγδόη, [sive ἑβδόμη ut vult Valesius] πρὸ ἑπτὰ εἰδῶν Ἰουνίων λέγοιτ' ἂν παρὰ Ῥωμαίοις. *Die octavo mensis Desii, hoc est,* ut Romani dicunt, *ante diem septimum idus Junias.* Cap. eod. sub fin. Δίε Μηνὸς ἑπτακαιδεκάτῃ αὖτη παρὰ Ῥωμαίοις ἡ πρὸ δεκαπέντε καλανδῶν Δεκεμβρίων. *Die septimo decimo mensis Dii, quod est* apud Romanos *ante diem decimum quintum cal. Decembris.* Cap. 7. Δίε μηνὸς πέμπτῃ, καλὰ ἦ Ῥωμαίοις Νώναις Νοεμβρίαις. Cap. 11. Τῇ δ' ἑξῆς Περιτίε μηνὸς ἡμέρᾳ ἑκκαιδεκάτῃ, Μαρτίας καλὰ Ῥωμαίους ἡ πρὸ δεκαεξ ἡσσάρων Καλανδῶν. *Postridie verò qui dies erat decimus sextus mensis Peritii,* hoc est, juxta Romanos, *ante diem decimum quartum calendas Martias.* Evagrius Hist. Eccl. lib. iv. cap. 9. Τότω τῷ Ἰσσίνῳ ὄγδοον ἔτος ἦ Βασιλεία; ἄγουσι ἐννέα τε μηνὰς πρὸς τρισὶν ἡμέραις, Ἰουστινιανὸς ἀδελφιδῆς αὐτῆ ξυμβασιλεύει, ἀναῤῥηθὲς τῇ πρώτῃ τε Ξανθικε ἤγεν Ἀπριλλίε Μηνὸς, &c. *Porro cum Justinianus annum imperii octavum transegisset, ac præterea menses novem & dies tres, Justinianus sororis ejus filius una cum illo imperavit, Augustus nuncupatus die primo mensis Xanthici,* id est, Calendis Aprilis, &c. Ibid. Καὶ τότων ὧδε προελθόντων, Ἰουστίνος μεθίσταται τῆς ἐνθένδε Βασιλείας, ὑπελθῶν τὸν τέλεον ἡμέραν ἀνὰ τὸν πρῶτον ἡμέραν τε Λώε τε νε Ἀνύσε Μηνὸς, &c. *Quibus ita peractis, Justinus*

*ex hoc Regno ad cæleſte Imperium migravit, fatali morte defunctus primo die menſis Loi*, id eſt, Calendis Auguſti. Ibid. cap. 4. Φεύγει δ' ἐκ [ſc. Σεβήρου] τὸν οἰκεῖον θρόνον ἀνὰ τὸν Γορπιαῖον Μλῶα, ὃν Σεπτέμβριον ἡ Ῥωμαίων λέγει φωνὴ, &c. *Porro ex Antiochena ſede fugit Severus, Menſe Gorpiæo, quem* Romani *Septembrem vocant*, &c. Et cap. 5. Ἀνὰ τὸν Ἀρτεμίσιον Μλῶα ἤτοι Μαΐῳ—βρασμὸς ἐ Ζωσμὸς ἐπελθόντες τῇ πόλει μικρᾷ πᾶσαν ἀναίρεσιν καὶ γαλον. *Menſis Artemiſii, quem Maium* Romani *vocant—juccuſſio & terræ motus Urbi ſupervenientes, pæne univerſam proſtraverunt.* Ita etiam Chronicon Caſaubon ap. Scalig. ſeu Antiochenum ſeu Conſtantinopolitanum. Ἔτος ΙΘ̄ Διοκλητιάνου Βασιλείας — Δύσρῳ ΚΕ̄, λέγοιλο δ' ἂν Μάρτιος καλῶς Ῥωμαίοις, Iterum ſub Conſulibus Ουενικίῳ καὶ Λογγίνῳ. Ἐν τῷ παρόντι ΕΦΛΗ. ἔτει ἡμέσεως κόσμου ἀρχῶν εἰληφότι ἀπὸ ΚΑ τοῦ καλὰ Ῥωμαίοις Μαρτίου μηνός. Objici fortaſſe ex adverſo poſſit clauſula illa S. Ignatii Epiſcopi Antiochiæ antiquiſſimi in Epiſtolâ ad Romanos. Ἔγραψα ὑμῖν ταῦτα, τῇ πρὸ ἐννέα Καλανδῶν Σεπτεμβρίου. Ita leguntur hæc verba tum in genuinis tum in interpolatis Ignatii Epiſtolis, & apud Simeonem Metaphraſtem veteremque interpretem Uſſerianum. Sed reſpondeo cum Uſſerio maximi apud eruditos omnes nominis Viro *ad Romanos ſcribentem, Romanis conſueta temporum notatione uti, quis rationi conſentaneum eſſe non exiſtimaverit?* Peculiaris nimirum hujuſce formulæ apud hanc Ignatii Epiſtolam ratio eſt habenda, neque ullo modo omnibus Scriptoribus Aſiaticis primi temporis adjudicanda. Ex his igitur atque aliis plurimis, quæ proferri poſſint, liquet Scriptores Græcos Orientales raro admodum Romana menſibus nomina indidiſſe, ſed plerumque vel ſuis Menſium nominibus Romana ſubjeciſſe, vel

Romanis

Romanis nominibus præfixisse voculas ἴτοι, ἔγεν, καὶ Ρωμαίους, ὅσις ἂν εἴη & alias id genus plures. Exempla posterioris generis aliqua jam dedimus. Prioris quamplurima sunt videnda in singulis ferè paginis apud Chronicon Casaubon. Ita pag. 291, Ἐπὶ τούτων τῶν ὑπάτων Ζεισμὸς ἐγένετο μέγας, ἐσκότωσε, ἡμέρα πρώτη Μαΐῳ Ξανθικῷ πρὸ ΙΒ Καλανδῶν Μαΐων. Iterum: Ἐπὶ τούτων τῶν ὑπάτων γέγονεν ἔκλειψις ἡλίου, μηνὶ Παχὼν, πρὸ ΙΔ Καλανδῶν Αὐγούστων. Iterum: Τῷ αὐτῷ ἔτει ἐβλήθη νίκη καὶ Περσῶν, Μηνὶ Γορπιαίῳ πρὸ Η Ἰδῶν Σεπτεμβρίων. Neque hoc mirum, namque menses Macedonici apud Asiaticos propè omnes in usu erant, Antiochenos nempe, Pergamenos, Tyrios, Cæsarienses, &c. Interea verò neutiquam inficias iverim orientales ipsos aliquandò menses per Romana simpliciter nomine extulisse. Hoc quidem non est negandum. Sic enim Epiphanius de Ponderibus & Mensuris Cap. 20. Ἐφ' ὧν ἐτελεύτησεν ὁ Οὐαλεντινιανὸς ὁ νεώτερος, υἱὸς Οὐαλεντινιανοῦ τοῦ μεγάλου, δι' ἀρθὰς ἄφνω ἐν τῷ Παλατίῳ πεπνιγμένος ὡς λόγος, ἐν ΕΙΔΟΙΣ Μαΐαις. Petavio interprete: *Quibus Coss.* [sc. Arcadio II. & Rufino] *mortuus est Valentinianus junior Valentiniani Magni filius: qui subinde, uti ferunt, præfocatus in palatio repertus est*, idibus *Maii*. At paulo postea se corrigit præsul eruditissimus, his verbis: Ην δ κατ' Αἰγυπτίους τότε μηνὸς Παχὼν μὰ καὶ εἰκάς, καὶ δ Ἕλληνας Ἀρτεμισία τρίτη καὶ εἰκάς, καὶ ΡΩΜΑΙΟΥΣ δ πρὸ δεκαεπτὰ Καλανδῶν Ἰανίων. Petavius: *Erat tum apud Ægyptios mensis Pachon dies vicesima prima; juxta Græcos* Artemisii *mensis tertia & vicesima; secundum* Romanos *decimo septimo Kalend. Junias.* Neque sane id in Enarratore reprehenderim quòd aliquando, sed quòd semper eos ità extulit. Atque hoc quidem

in

in Ulpianum Antiochenum cadere potuisse vix unquam credidetim.

§ 13. Neque aptius ævum Ulpianeum sonat illud ad Orat. *de falsa Legatione*: Ἐν μὲν τοῖς ἀρχαιοτέροις ΒΙΒΛΙΟΙΣ περιέχεται τὸ πρόσωπον. *In veteribus autem antiquioribus inpenitur* πρόσωπον. Per βιβλίοις voluit ἀντιγράφοις, *exemplaribus*. Ita enim apud veteres exemplaria reddi solebant. Demosth. Orat. contra Leptin. τὰς ἐπιστολὰς τὰ ΑΝΤΙΓΡΑΦΑ. Auctor antiquissimus de LXX interp. ad Timocratem, διαλεξόμεθα δέ σοι περὶ τῆς καλλαικδοῦς, ὡς ἂν τὰ ἐπισταλῶν ΑΝΤΙΓΡΑΦΑ διελθωμεν. Philemon Criticus vetustissimus mendas appellabat, inquit Casaubonus Præf. in Athen. Τὰ ἐν τοῖς ΑΝΤΙΓΡΑΦΟΙΣ ἐμπεμενηχίσας ἡμαρτημένας γραφάς. Origen. cont. Celsum, Lib. v. Καίτοι μὴν τὰ κοινὰ τῶν ΑΝΤΙΓΡΑΦΩΝ. Idem in Joh. tom. vi. Ed. Huet. Τὸ μέντοι γε ἡμαρτῆσθαι ἐν τοῖς Ἑλληνικοῖς ΑΝΤΙΓΡΑΦΟΙΣ τὰ περὶ τῶν ὀνομάτων πολλαχοῦ, καὶ ἀπὸ τούτων ἄν τις πείθοιτο ἐν τοῖς διαγγελίοις ἢ περὶ τὰς ὑπὸ τῶν δαιμονίων καλλιχρημιζομένας οἰκονομίας, &c. [Ita lego hæc ultima, non πεισθεὶς ἐν τοῖς διαγγελίοις· ἢ περὶ τὰς, &c. ut pessime in Edit.] Ferrarius: *Peccatum equidem frequenter fuisse in Gentilium exemplaribus, indeque errata in Evangeliis translata facilè quis credat.* Quam inepte, quam ɔscitanter! Totam periochen hic, ut alibi sexcenties, miserè intervertit & corrumpit Ferrarius. Ita potius, ni fallor, refingi debuit: *Et subesse quidem Græcis exemplaribus mendas sæpenumerò circa nomina, exinde etiam probari culpiam possit. In evangeliis dispensatio illa circa porcos a dæmonis è rupe præcipitatos*, &c. Ad rem redeamus. Eusebius Dem. Evang. Lib. viii. Ὅθεν καὶ παρὰ τοῖς ἀκριβεστάτοις ΑΝΤΙΓΡΑΦΟΙΣ τῶν Ἑβδομήκοντα. *Unde & in exemplaribus LXX interpretum emendatissimis.* Socrates Hist. Lib.

Lib. VII. Cap. 32. Αὐτίκα γὰρ ἠγνόησεν [Νεστόριος] ὅτι ἐν τῇ καθολικῇ Ἰωάννου γέγραπται ἐν τοῖς ἀδιορθώτοις ΑΝΤΙΓΡΑΦΟΙΣ, &c. Valesius: *Primum itaque ignoravit* [Nestorius] *in Catholicâ Joannis Epistolâ ita scriptum esse in antiquis exemplaribus*, &c. Epiphanius Ancorato, cap. 31. Ἀλλὰ καὶ, Ἑλλάδι, κεῖται ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ ἐν τοῖς ἀδιορθώτοις ΑΝΤΙΓΡΑΦΟΙΣ. Petavius: *Sed & ploravit, ut in Evangelii Lucæ exemplaribus non correctis legitur.* (Scio quidem virum optimè de Christiano & literario orbe meritum Joannem Millium aliter hæc verba Epiphanii & interpunxisse & interlexisse in Prolegomenis ad N. T. 798. Verùm mihi locum hunc diu multùmque versanti & expendenti aliud longè suadet contextus ipsius series, argumentum, & scopus, sicut ostendere haud admodum refugerem, si esset hujus loci. Illud verò Cl. viro facillimè & libentissimè assentior; errare toto cœlo Grotium, cum ista quæ in hoc capite de orthodoxis refert Epiphanius, in præfides ecclesiasticos rejicienda esse judicaret.) Philoxeni Glossæ Lat. Græc. *Exemplar*, ἀντίγραφον Græco-Lat. Ἀντίγραφον, *Rescriptum, Exemplum, Exemplar*. Ita enim passim Scholiastæ vetustissimi in Pindarum & Apollonium Rhodium. Βιβλίον verò apud veteres diversum quid ab exemplari significabat, nempe Epistolam. Suidas: Βιβλίον, ΕΠΙΣΤΟΛΗ. Βιβλία etiam epistolas. Hesychius: Βιβλία, βυβλία, ΕΠΙΣΤΟΛΑΙ. Pro libris etiam generaliter acceptis usurpabatur. Athenæus, lib. iii. Καλλίμαχος ὁ γραμματικὸς τὸ μέγα ΒΙΒΛΙΟΝ ἴσον ἔλεγεν εἶναι τῷ μεγάλῳ κακῷ. Dalechampius: *Callimachus Grammaticus dicere solebat magnum* librum *magno malo parem esse*. Glossæ Philoxeni Græc. Lat. Βιβλία, *Libri*, Βιβλίον, *Libellus, Liber, Codex*. His suffragium ferat etiam Julius Pollux in Onomastico

mastico Lib. x. Cap. 14. Εἰ ἦ — Ἔτι τὸν πρὸς τὰ Βοηδρόμια Ζωσεσίαν τις τραπόιτο, &c. Ubi Liber in eo sensu longè longeque ab exemplari differt. De exemplaribus ita loquitur idem Lib. viii. cap. 6. Τῶν δὲ δικαστικῶν ὀνομάτων, Γραμματεῖα, Ἀγωνοθέται, Ἀγωνοθέται. ΑΝΤΙΓΡΑΦΑ.

§ 14. His breviter expositis, latius aliquanto diducendis nisi alio traherer impræsentiarum, coronidem imponant Observationes aliæ duæ, verum diversi generis. Prima sit, argumenta illa longiuscula, quæ incerti auctoris nomine feruntur, ab eodem profecta fuisse, quo ipsi Commentarii. Ad oratorem *de falsâ Legatione* ait Enarrator: Ἐπειδὴ, ὡς ΕΓΝΩΜΕΝ, κατὰ Σελήνην ἀριθμοῦσιν οἱ Ἀθηναῖοι [*quoniam, sicut* antea notum fecimus, *lunæ cursum in computis suis sequuntur Athenienses.* Et ad Orat. cont. Timocratem: Πρυτάνεις δὲ τοὺς πεντηκοντα, ΟΥΣ ΕΙΠΩΜΕΝ ἀεὶ προβαλλομένης ὑπὲρ [vel ὑπὸ] τῆς ἰδίας φυλῆς καὶ πρυτανεύσεως τὸ μέρος αὐτῆς [pro μέρος αὐτὸ legendum velim μέρος αὐτῶν τὸ *i. e.* partem suam] ἑκάστης. *Prytanes vero, viri quinquaginta quos* diximus *semper deligi solitos pro sua tribu, & munere fungi senatorio pro sua parte anni.* In primâ pericope dicit se antea lectorem docuisse, Menses Athenienses ad Lunæ cursum componi. Hoc verò nusquam docet nisi in argumento ad Orat cont. Androtionem, his verbis: Ἰστέον ὅτι οὐκ ἐψήφιζον οἱ Ἀθηναῖοι τοὺς μῆνας κατὰ τὸν ἡλιακὸν δρόμον ὡς ἡμεῖς, ἀλλὰ κατὰ τὸν σεληνιακόν. Wolfius: *Sciendum, non supputatos esse* menses ab Atheniensibus ad Solis, ut a nobis, *sed* ad Lunæ *cursum.* Patet igitur ultrò nostrum argumentum illud pro suo agnovisse. In pericope secundâ monuisse se dicit singulam tribum elegisse pro se Prytanas quinquaginta, & annum inter se magistratui gerendo distribuisse. Hoc quoque nusquam alias nisi

in

in hoc argumento inveniendum est. Ἦρχον ἓν οἱ πεντακόσιοι, τὰς τριακοσίας πεντήκοντα ἡμέρας. Ἀλλ' ἐπειδὴ πολλοὶ ἦσαν, καὶ δυσχερῶς ἤνυον τὰ πράγματα, διεῖλον ἑαυτοὺς εἰς δέκα μερίδας κατὰ τὰς φυλὰς ἀνὰ πεντήκοντα. Τότε γὰρ ἑκάστη φυλὴ ΠΡΟΕΒΑΛΛΕΤΟ. Wolfius: *Quingenti igitur illi trecentos quinquaginta dies in magistratu erant. Sed quia multi erant, & negotia non expeditè succedebant, decuriarunt sese pro tribuum numero, ut singulæ decuriæ quinquagenos continerent.* Hos enim unaquæque tribus designabat. Deinde paulò infra: Ἰστέον δ' ὅτι οἱ μὲν πεντήκοντα ἐκαλοῦντο πρυτάνεις. *Sciendum autem est, quinquagenos illos vocatos fuisse curiones.* Clarius profectò aliquid vix optares. Respondent enim quam exactissimè τότε γὰρ ἑκάστη φυλὴ ΠΡΟΕΒΑΛΛΕΤΟ istis supra citatis ἃς ἔφαμεν ἀεὶ ΠΡΟΒΑΛΛΟΜΕΝΟΥΣ. Omnia autem argumenta illa anonyma ejusdem commatis & manûs esse nemo est, credo, qui negaverit. Porro confirmatur idem ex alio loco. Is est in argumento ad Orat. πρὸς Λεπτίν. sub fin. Ἰτέον ἤδη τὴν ΜΕΤΑΧΕΙΡΙΣΙΝ τῇ λόγῳ. *Verum ad ipsius Orationis expositionem transeundum est.* Hæc quidèm absunt in Editione Wolfii, at comparent in Morellianâ quæ eam secuta est. Neque ea cur rejicienda sint, video. Sed enim si revera pro genuinis accipiantur, non opus fuerit ut nos diutiùs illis immoremur, cum ipsa satis clament.

§ 15. SECUNDA fit, Vitam illam Demosthenis brevem, qui Plutarcho inscribitur, non alii quam Nostro esse tribuendam. En ipsum ad Orat. cont. Timocratem: Καλλίστρατος δὲ ἐστι ῥήτωρ, ἐφ' ἡλικίᾳ τοῦτον ἐγένετο Δημοσθένους. Περὶ οὗ ἐρωτηθεὶς ὁ Δημοσθένης, τίς ἀμείνων ῥήτωρ, σὺ ἢ Καλλίστρατος; ἐγὼ μὲν γραφόμενος, Καλλίστρατος δὲ ἀκουόμενος. Ἦν γὰρ δεινότατος ἐξορκίσαι ὁ Καλλίστρατος. Θεὶς δὲ ἀκρότης αὐτῆς

αὐτῷ ἐπιδεικνυμένῳ, ὁ Δημοσθένης, εἰς ἐπιθυμίαν ἦλθε λέγων, ΩΣ ΕΙΡΗΚΑΜΕΝ ΕΝ ΤΩι ΒΙΩι ΑΥΤΟΥ. Wolfius: *Calliſtratus autem Orator fuit, cujus admirator exſtitit Demoſthenes, deque eo rogatus uter eſſet melior orator, ipſene an Calliſtratus? Ego, inquit, in ſcribendo; Calliſtratus in dicendo. Multum enim in declamando valuit Calliſtratus: quem cum declamantem vidiſſet Demoſthenes, Eloquentiæ cupiditate,* ut in Vitâ ejus diximus, *eſt inflammatus.* Videamus nunc Demoſthenis Vitam quæ dicitur ex Plutarcho: Ὡς δ' Ἡγησίας ὁ Μάγνης φησὶν, ἐρήθη τὸ παιδαγωγῆ, ἵνα Καλλισράτει Ἐμπαίδι Ἀφιδναίῳ ῥήτορι δοκίμῳ καὶ ἱππαρχήσαντος καὶ ἀναθέντος τὸν βωμὸν τῷ Ἑρμῇ τῷ ἀγοραίῳ, μέλλοντι ἐν τῷ δήμῳ λέγειν, ἀκέσῃ. ΑΚΟΥΣΑΣ ΔΕ, ΕΡΑΣΤΗΣ ΕΓΕΝΕΤΟ ΤΩΝ ΛΟΓΩΝ. Wolfius: *Ut autem Hegeſias Magnes refert, pædagogum oravit, ut Calliſtratum Empædum Aphidnæum probatum Oratorem, qui & Magiſter fuit Equitum, & Mercurio forenſi aram dedicavit, quum is ad populum verba facturus eſſet, audire liceret:* Eoque audito, eloquentiæ amore *captus eſt.* Ad priora illa in Comment. ad Timocrat. hæc ſubnotat Wolfius: *Libanius & Plutarchus Calliſtrati actionis Oropiæ mentionem faciunt. Sed comparationis Calliſtrati & Demoſthenis non meminerunt. Forſan &* Ulpianus *Demoſthenis Vitam deſcripſit.* [Dum Plutarchum laudat Wolfius, prolixiorem & limatiorem Demoſthenis Vitam, qui certè Plutarchi fœtus eſt, innuit, ab hâc brevi de quâ agimus longè diverſam.] Mirum profectò eſt Wolfium cum hæc ſcriberet nullam vidiſſe inter Enarratorem & Βιογράφον ſimilitudinem, quum, ut aiunt, ovum ovo non eſt ſimilius, quam ἀκέσας αὐτῷ ἐπιδεικνυμένῳ ὁ Δημοσθένης εἰς ἐπιθυμίαν ἦλθε λόγων, illis ἀκέσας ἢ ἐρασὴς ἐγένετο τῶν λόγων. Iſta me fateor (præſertim cum hanc Vitam Demoſthenis incerti eſſe auctoris

&

Digitized by Google

& Plutarcho temerè falsoque inscriptam consentiant pœnè eruditi omnes) eandem utrobique manum non modo cogunt libentèr agnoscere, verum etiam paulò constantiùs asserere.

Atque hæc tibi qualia qualia sunt pro tempore & ingenii nostri modulo, Erudite Lector, in manus do. Exilia quidem illa fortasse & imperita, juventutisque ut est ferventioris temeritatem referentia; spero tamen, haud prorsus injucunda. Neque interea eò unicè spectare credas quæ legis ut Commentarios tam insignes tam doctos atque utiles è manibus tuis excuterent. Extremæ quidem id esset dementiæ, & hominis, qui diligentiam tot Virorum Clarissimorum in evolvendis illis & illucubrandis ineptissime reprehenderet. Ipsi denique amico nostro & necessitudinis arctissimæ rationibus defuerim, si in eam ejus operam & industriam involarem, quam adeò felicem & eruditam in illis excolendis atque exornandis collocavit. Suus igitur illis, Pseudulpianis licèt, adhuc sit honos & auctoritas. Plures indies Casaubonos, Valesios, Petitos, Sigonios, Meursios, Pearsonios (quales, Deus bone! & quantos Viros!) exerceant. Absit profectò, ut quæ literati illi heroes etiam laudare non dedignantur, ea nos homunciones sciolique despicatui habere audeamus.

*J. C.*

Coll. Regal.
3 Id. Nov. MDCCXXX.



Digitized by Google

Digitized by Google

THE NEW YORK
PUBLIC LIBRARY.

ASTOR, LENOX AND
TILDEN FOUNDATIONS.

Digitized by Google

THE NEW YORK
PUBLIC LIBRARY.
ASTOR, LENOX AND
TILDEN FOUNDATIONS.

Digitized by Google

# ΥΠΟΘΕΣΙΣ τῆ ΠΡΩΤΟΥ ΛΟΓΟΥ τῦ καλᾶ ΦΙΛΙΠΠΟΥ.

ΚΑΚΩΣ ἐν τῷ πολέμῳ τῷ πρὸς Φίλιππον οἱ Ἀθηναῖοι φερόμενοι ξυνεληλύθασιν εἰς ἐκκλησίαν ἀθυμῆδες· ὁ τοίνυν ῥήτωρ τήν τε ἀθυμίαν πειρᾶται παύειν, λέξων ὡδὲ εἶναι θαυμαςὸν, εἰ ῥᾳθυμῆδες κεκοφότωλαι· καὶ εἰσηγεῖται, πῶς ἂν ἄριςα τῷ πολέμῳ προσενεχθεῖεν· κελδύει δὴ δύο δυνάμεις παρασκευάσαδαι, μίαν μὲν μείζω, πολιτικὴν, ἥ τις οἴκοι μένοσα, πρὸς τὰς τῶν ἐπικαίρων χρείας ἕτοιμος ὑπάρξει· ἑτέραν δ' ἐλάτονα, ξένων ὅπλων τῶν ςρατευομένων· παραμειμένων δὲ καὶ κελδύει τὴν δυναμιν μὴ Ἀθήνησι μένειν, μηδὲ ἐκ τῆς πόλεως ποιεῖδαι τὰς βοηθείας, ἀλλὰ ὡς τὴν Μακεδονίαν ἀναςρέφεδαι, πολεμῆσαν ἀδιαλείπτως, ἵνα μὴ τὰς ἐτησίας ὠνείνας ἐπιληρήσας ὁ Φίλιππος, ἢ καὶ τὸν χειμῶνα, νικᾳ Ἀθήνηδεν εἰς Μακεδονίαν πολεῖν ῥᾳδίως, ἐπιχειρῇ τοῖς πράγμασι, καὶ παρὰ τὴν ἀπουσίαν τῶν τῶν Ἀθηναίων, ἀπάντων κραδῇ· ἀλλ' ἐγγὺς ἡ πρὸς αὐτὸν ἀντιδαξομένη δύναμις πρὸς αὐτὸν ὑπάρχῃ.



Digitized by Google

# ΔΗΜΟΣΘΕΝΟΥΣ
## ΚΑΤΑ
# ΦΙΛΙΠΠΟΥ Α.

α. Εἰ μὲν περὶ καινοῦ τινος πράγματος προυτίθετο, ὦ ἄνδρες Αθηναῖοι, λέγειν, ὑπισχνοῦμαι ἐγὼ ἕως οἱ πλεῖστοι

ΤΟΥ ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ ΛΟΓΟΥ Α.

Ἐξήγησις, καὶ σχόλια.

ΚΑΤΑ Φιλίππου] Ζητοῦσιν, εἰ τῷ συμβουλευτικῷ ἴδιον ἡ περίεργόν τι καὶ ἀπόρρητον, ὅλως δὲ ἡ καταληψία, πῶς ἐνταῦθα ἐπιγέγραπται ὁ λόγος συμβουλευτικὸς ὤν, καὶ κατὰ Φιλίππου· καὶ φαμὲν ὅτι πολλάκις τὰ τρία εἴδη ἐρήτορικῆς ἐπιμίγνυται, οὐκ ὕλης ἀλλήλοις καθιστάμενα, ὥστε ἐνταῦθα· βουλόμενος γὰρ κατασκευάσαι, ὅτι δεῖ τὴν Μακεδονίαν κατοῦσαι, ὕλῃ ἐχρήσατο τῇ κατὰ τοῦ Φιλίππου καταδρομῇ· ἰσχὺν ὅτι ἐν μὲν τοῖς ἄλλοις λόγοις, ὕλη ἦν ἡ τῶν Ολυνθίων πολιορκία· αὕτη γὰρ σύστοιχίας ἐν τῷ λίσιον αἰτία τῷ ῥήτορι καθίσταται· συνεχὴς δὲ, ἡ τῶν Αθηναίων δύναμις· ἐνταῦθα δὲ, ὅπη μὲν ὁ Μακεδὼν· συνεχὴς δὲ, οἱ Αθηναῖοι. Διὰ τοῦτο καὶ ἐπίτρεχε ἐπιγραφῆς ὡς πρὸς τὴν προλαβοῦσαν λόγος ἔτυχε. Τὰ δὲ τοῦ λόγου ἐνθυμηματικὰ κεφάλαια τρία εἰσὶ, τὸ ἐρρωμένως ἀνθιστασθαι τῶν πραγμάτων, τὸ αὐτὸς στρατεύεσθαι, τὸ πόρους χρημάτων ἐπινοεῖν, ὅθεν τὸ συμφέρον τοῖς στρατευομένοις γενήσεται· διὰ γὰρ τοῦ ἀναλώσκειν τὴν ἐπιστολὴν, ὑδέν ἕτερον, εἰ μὴ 1 παροξύνει καὶ ἀνθιστασθαι τῶν πραγμάτων διδάσκει. Τὸ δὲ προοίμιον, ἐκ ἀπὸ τοῦ πράγματος, ἀλλ' ἀπὸ τοῦ προσώπου· ἀναγκαῖος γὰρ αὐτοῦ πρὸ τῶν πρεσβυτέρων ἰδυσχέραινόν τινες, ὃ δὴ καὶ θεραπεύει.

‡ Εἰ μὲν περὶ καινοῦ τινος πράγματος προυτίθετο, ὦ Αθηναῖοι] Τὸ προοίμιον ἄνευ προλάσεως, ἄρχεται γὰρ ἀπὸ τῆς κατασκευῆς· τὴν γὰρ πρότασιν ἐν τῷ τῆ ἴλαδε τὴν ἐκ τῶν γεροΐλιον μάλλεσαι αὐτῷ προλαμβάνεσθαι· ἐξ ἀνθυπάτου δὲ τὸ προοίμιον· αὐτίπτωσις γὰρ αὐτῷ πῶς παρὰ τὴν ἡλικίαν λέγει· λύει οὖν διὰ τὸ

1 τὸ παροξύνειν.

λέγειν,

τοι τῷ εἰωθότων γνώμιν ἀπεφήναντο,

ΕΧΟΛΙΑ.

λέγειν, ὅτι περὶ παλαιῶν πραγμάτων ἡ σκέψις, περὶ ὧν εἶπον καὶ οἱ πρῶτοι.

Εἰ μὲν περὶ καινῆ.] Ἀπολογεῖται μὲν ἐν τῷ προοιμίῳ περὶ τῆ προαρπάσαι τὴν τάξιν τῶν γερόντων· ἰσχὺν δὲ, ὅτι συλλογισικῶς τοῦτο λύῃ, δεικνὺς ὅλεθρον, οἶδα μὲν ὅτι ἀναισκαῖον ἐστι πρώτους λέγειν τοὺς γέροντας, ἀλλὰ τοῦτό γ' ὅταν ἡ ἡ βουλὴ περὶ καινοῦ τινος πράγματος· νῦν δὲ, οὐ περὶ καινοῦ πράγματος· περὶ γὰρ Φιλίππου βουλευόμεθα· ὥστε ἤδη πολλάκις εἰσόδων τῶν γερόντων περὶ τούτου, 1 οὐ παραχαράττω τὸν νόμον· καὶ οὕτως μὲν οὗτος συνελογίσαλο· ἡ δὲ ἀλήθεια ἔχει, ὡς εἴτε παλαιὸν ἦν τὸ πρᾶγμα, εἴτε καινὸν, ᾔδει τοὺς γέροντας λέγειν πρώτους· ἐπειδὴ δὲ νῦν φασὶ τεθορύβηται οἱ Ἀθηναῖοι ἐπὶ τῇ ἀπωλείᾳ τῶν τριάκοντα δύο πόλεων τῶν Χαλκιδικῶν, καὶ ἐπὶ τῇ πολλῇ αὐξήσει τοῦ Φιλίππου, διὰ τοῦτο προαρπάσαι τὴν τάξιν ἐπιχείρησεν. Ἄλλως. Ἐν τῷ περὶ τ' περιβολῆς λόγῳ λέγει Ἑρμογένης, τῆς ἰδίας τὴν καλασκευὴν προλέραν εἶναι τῆς προλάσεως· καὶ κέχρηται τούτῳ τῷ παραδείγματι· τὸ γὰρ, εἰ μὴν περὶ καινοῦ τινος πράγματος προυλίθετο λέγειν, καὶ τὰ λοιπὰ, ἔστιν ἡ καλασκευή· τὸ δὲ, ἐπειδὴ 2 δὲ περὶ ὧν πολλακις, καὶ τὰ λοιπὰ, ἔστιν ἡ πρότασις· πρότασις γάρ ἐστιν, ὅτι διὰ καὶ νεωλέρου ὄλε, πρώτη λέγοντ· ἀνέχεσθαι· αἱ δὲ ταύτης καλασκευαὶ, ὅτι μηδὲν τῶν δεόντων οἱ εἰωθότες, ἤτοι οἱ πρεσβύτεροι, εἰρήκασιν· ὁ δὲ σοφιστὴς Ασκληπιὸς, καλασκευὴν εἶναι λέγει ἄνευ προλάσεως· ὁ δὲ Ισοκράτης ἐν τῷ τῆ Αρχιδάμου, τὴν προτασιν πρώτην ποιήσας, ἐπήνεσε τὴν καλασκευὴν, οἷον, "ἴσως τινὲς "ὑμῶν θαυμάζουσιν, ὅτι τῶν ἄλλων "χρόνων ἐμμεμιμημὸς τοῖς "πόλεως νόμοις, ὡς ἂν οἶδ' εἴτις "ἄλλ· τῶν ἡλικιωτῶν, τοσαύτην "ποιοῦμαι τὴν μεταβολὴν," καὶ τὰ ἑξῆς· τοῦτο ἡ πρότασις· ἡ δὲ καλασκευὴ, "ἐγὼ δὲ, εἰ μέν τις τῶν "εἰθισμένων ἐν ὑμῖν 3 ἀξιοῦν "ἀξίως ἦν τ' πόλεως εἰρηκὼς, πολ- "λὴν ἂν ἠσυχίαν ἦγον.

περιθείη.] Αὐτὶ τοῦ προσβάλλειν· τινὲς δὲ, ἀντὶ τῆ περιγεράφειν· ἐπειδήπερ σανίδας τινὰς ἐνέγραφον, ἐχούσας τὸ γράμμα περὶ ἢ σκέψις, καὶ περὶ ἃ συνειληλύθασι· καὶ προσιθέσαν τ' ἐκκλησίας, ἵνα γνῶσι πάλις περὶ τίνο· ἐστὶν ἡ ἐκκλησία.

λέγειν.] Διὰ ὑποσίξαι ἐν τέτῳ, ἵν' ἢ ὕτως· εἰ μὲν περὶ καινῆ τινος πράγμαλο· λέγειν προειτίθεσο, ἐπισχὼν καὶ ἀναμείνας ἕως ὅτου εἶπωσιν οἱ γέροντες, τότε καὶ αὐτὸς ἐπειρώμην ἃ γινώσκω λέγειν· Ισίον δὲ ὅτι τῷ Ισοκρατικῷ προοιμίῳ ἐχρήσαλο τῷ ἐν τῷ Αρχιδάμου· καιεῖ γὰρ τὸ ἐπιχείρημά ἐστιν, ὅτε νέο· ὢν, προλαμβάνει τὰς γέροντας.

ἐπισχὼν.] Διὰ τῆ ἐπισχὼν, ἔδειξεν ὡς καὶ τότε μόλις εἶχε κκρίθῆναι, μὴ ὑπὲρ τῶν συμφερόντων πρῶτο· εἰπεῖν, ἐκ μεταφορᾶς τῶν

1 Deest οὐ. 2 Deest δὲ. 3 ἀξιοῦν.



Digitized by Google

αυτο, εἰ μὴ ἤρεσκέ τί μοι τῶν ὑπὸ τούτων ῥηθέντων, ἡσυχίαν ἂν ἦγον· εἰ δὲ μή, τότ' ἂν [1] κἀγὼ αὐτὸς ἐπειρώμην ἃ γινώσκω λέγειν· ἐπειδὴ δ' ὥσπερ ὧν πολλάκις εἰρήκασιν ἕτοι πρότερον, συμβαίνει καὶ νυνὶ σκοπεῖν, ἡγοῦμαι καὶ πρῶτον ἀναστὰς, εἰκότως ἂν συγγνώμης τυγχάνειν· εἰ γὰρ ἐκ τοῦ παρεληλυθότος χρόνου τὰ δέοντα ἕτοι σεσεβήλωσαν, ἀδὲν ἂν ὑμᾶς νυνὶ ἔδει βουλεύεσθαι.

β'. Περὶ-

## ΣΧΟΛΙΑ.

προθυμουμένων ἅπτεσθαι δραμεῖν καὶ ἐπεχομένων.

τῶν εἰωθότων] Θέλει εἰπεῖν τῶν γεγόντων· ἆρα δὲ πῶς λελησθότως αὐτὸς διέβαλε διὰ τοῦ εἰπεῖν τῶν εἰωθότων· ἵνα δηλώσῃ, ὅτι μόνον ἔθος ἔχουσι λέγειν πρῶτοι, ἃ μὴν καὶ χρήσιμόν τι συμβουλεύουσιν.

εἰ μὲν ἤρεσκέ τί μοι] Διὰ τοῦ εἶτεῖν τοῦτο, κρίσιν τῶν προγεγενημένων ἐπέδειξε· τῷ δὲ μερισμῷ καὶ ὑπομερισμῷ σχήματι κέχρηται ἐνταῦθα· εἶτα γὰρ, τὸν μὲν ἄνω σύνδεσμον. ἐκ ἐπήγαγεν εὐθέως τὸν δὲ· ἀλλὰ ἄλλοι μέν· ἔστι γὰρ ὁ μερισμὸς καὶ ὑπομερισμὸς, ὅταν εἰπὼν δύο τινὲς, [1] ἀνάσχηται ἔχει πρὸς τὰ δύο μὲν ἀποδοῦναι δύο δὲ, ὅπερ ἐστὶ καὶ ἐνταῦθα γεγενημένον.. Ὁρα δὲ πῶς φαύλην ἀξιοπίστως εἶπε τὸ ἤρεσκέ μοι, ὃ ἐστὶ τῷ ἀγαθῷ συμβούλῳ ἀζηθὲς συμβουλευθεῖσα βουλή· τὸ δὲ σχῆμα τοῦτό ἐστι καὶ παρὰ τῷ ποιητῇ· Χαῖρ' Ἀχιλεῦ, δαίτὸς μὲν εἶσης οὐκ ἐπιδευὴς, Ἡ μὴν ἐνὶ κλισίῃ. Ἄλλως. Τὸ σχῆμα, οἱ μὲν καλοῦσι διπλοῦν μερισμὸν, οἱ δὲ μερισμόν τε καὶ ὑπομερισμόν· εἰρηκὼς γὰρ πρότερον δύο μὲν, ἐπήγαγε δύο δέ. Ἐπιφέρουσι δὲ αὐτὸς πολλάκις, ἀ καλὰ τάξιν, ἀλλὰ πρὸς τὸ πρῶτον τὸ τελευταῖον.

ἡσυχίαν ἂν ἦγον] Τὸ ἦθος· τὸ οἰκεῖον διάκυσιν ὡς οὐ φιλόνικος

τοῖς

[1] ἀνάσχῃ.

β'. Πρῶτον μὲν ἔν, ὦ ἀθυμητέον, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς παροῦσι πράγμασιν, ὡδ' εἰ πάνυ φαύλως ἔχειν δοκεῖ· ὃ γὰρ ἐστι χείριστον αὐτῶν ὑπ τῆ παρελπλυθότι χρόνῳ, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει. Τί δ' ἐστι τοῦτο; ὅτι δέδεν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν δεόντων ποιούντων ὑμῶν, κακῶς τὰ πράγματα ἔχει· ἐπεὶ τοίγε εἰ πάνθ' ἃ προσῆκε πραττόντων ὅτως εἶχεν ὡδ' ἂν ἐλπὶς ἦν αὐτὰ βελτίω γενέσθαι. Ἐπειδὴ

## ΣΧΟΛΙΑ.

τοῖς καλῶς λεγομένοις.

αὐτὸς ἐπαιρώμην] Διὰ τοῦ αὐτοῦ ἐπαιρώμην ἐτασίασε τὸν λόγον, ὡς ἐ πάνυ ἰρῶν τὰ συμφέροντα.

ἐπειδὴ δὲ] Καλασκευὴ τῆ παροιμίᾳ.

πολλάκις εἰρήκασιν οὗτοι] Πάλιν αὐτοὺς ψέγων, διαβάλλει διὰ τῆ λίτητος, ὅτι πολλάκις μὲν εἰρήκασιν, ὠδὲν δὲ ἤνυσαν.

οὗτοι πρότερον] Τὸ σχῆμα δεικτικὸν, φαυλισμῶ δὲ ἐκφαντικόν.

συγγνώμης τυγχάνειν] Καίτοι ἀποδείξας ὡς οὐχ ἁμαρτάνουσι, διὰ τὸ ταπεινοφρονεῖν, συγγνώμης τὸ τοιοῦτο καλεῖ.

Πρῶτον μὲν ἔν] Εἰς τὸ δυναλὸν πρῶτον εἰσέβαλε, μεμνημένος τῆ νουθεσίᾳ τὴν παραμυθίαν ποιησάμενος.

οὐδ' εἰ πάνυ φαύλως] Ἀπὸ θεραπείας τινὸς ἐχούσης αἰτίαν τὸ μὴ δεῖν ἀθυμεῖν, τὴν εἰσβολὴν τῶν ἀγώνων ἐποιήσαλο. Διὰ τῆ εἰπεῖν, οὐκ ἀθυμητέον. οὐδ' εἰ πάνυ φαύλως ἔχειν δοκεῖ, δείκνυσιν ὡς θαῤῥεῖν χρὴ καὶ γὰρ τρεῖς εἰς ἄκρον ἤνυσι πόσι τοῦτο παραπλήσιον ἀεί.

ὃ γὰρ ἐστι χείριστον] Τὸ σχῆμα παρὰ προσδοκίαν· οἱ δὲ λόγοι δεύτερον εἶναι προοίμιον, τοῦτο λέγουσι εἶναι καλασκευὴν αὐτῆ.

Τί δ' ἐστι τοῦτο] Καὶ τοῦτο τὸ ἐνθύμημα εἴλεπλαι ἐκ παραδόξου· ὃ δὲ φησὶ. τοιοῦτόν ἐστιν, ὃ ὑμᾶς ἐκ τῆ παρελθόνλος χρόνου, τοῦτο ἀποθέμενοι, πάλιν ὠφεληθησόμεθα.



Digitized by Google

Επειτα ἐνθυμηθέον, καὶ παρ' ἄλλων ἀκούουσι, καὶ τοῖς εἰδόσιν αὐτοῖς ἀναμιμνησκομένοις, ἡλίκην πότ' ἐχόντων δύναμιν Λακεδαιμονίαν, ἐξ ἧς χρόνου ὀλίγου, ὡς καλῶς καὶ προσηκόντως ὑμῖν ἀναξίου ὑμεῖς ἐπεράξατε τῆς πόλεως, ἀλλ' ὑπεμείνατε ὑπὲρ τῶν Ελληνικῶν δικαίων τὸν πρὸς ἐκείνους πόλεμον. Τίνος οὖν ἕνεκα ταῦτα λέγω; ἵν' εἰδῆτε, ὦ ἄνδρες Αθηναῖοι, καὶ θεάσησθε, ὅτι οὐδὲν οὔτε φυλατομένοις ὑμῖν ἐστι φοβερὸν, οὔτ', ἂν ὀλι-

## ΣΧΟΛΙΑ.

Επειτα ἐνθυμητέον] Δεῖ γὰρ τὸν ἄρτι ἀκούσαντα καθαπτεῖν καὶ ἐνθυμεῖσθαι περὶ τῶν πραγμάτων· τὸν δὲ εἰδότας, διὰ δ' μνήμης ἀναπαυίζειν τὰ γεγενημένα.

ἐνθυμηθέον] Καλῶς ἐπῆρται τοῦτο τὸ παράδειγμα· εἰώθασι γὰρ οἱ ἄνθρωποι διὰ τῶν ὁμοίων παθημάτων ἐπανορθοῦσθαι. Μερίζει δὲ τὸν λόγον εἰς δύο, εἴς τε νεωτέρους μὴ εἰδότας τὰ παλαιὰ, καὶ ὀφείλοντας αὐτὰ παρὰ τῶν πρεσβυτέρων μανθάνειν· καὶ εἰς γέροντας, εἰδότας μὲν τὰ παλαιὰ, χρῄζοντας δὲ ὅμως καὶ ἀναμνήσεως.

ἡλίκην πότ' ἐχόντων] Επεὶ περιττὸν ἦν ὁ δῆμος διὰ τὴν τοῦ Φιλίππου δύναμιν, ἐπαραδείγματοῦ τὸ θαρρεῖν αὐτοῖς ἐπορίσαλο· καὶ γὰρ Λακεδαιμόνιοι οὐ μικρότερον τῶν Μακεδόνων ἴσχυσαν, καὶ τὰ γῆν τε καὶ θάλασσαν.

ἐξ οὗ χρόνου] Ινα μύτις εἴπῃ, παλαι τοιοῦτοι ἦμεν, νῦν δὲ ὁ χρόνος ἄλλαξε τὰ πράγματα, προσέθηκεν, ἐξ οὗ χρόνου οὐ πολύς.

‡ οὔτε φυλατομένοις ὑμῖν ἐστι φοβερὸν] Λείπει τὴν ῥαθυμίαν· ἐὰν φυλάττησθε, φησὶ, καὶ ἐκφεύγητε αὐτὴν, οὐδὲν ὑμῖν φοβερὸν ἔσται· σημεῖον δὲ τούτου ἡ Λακεδαιμονίων δύναμις ἧς ἐκαλεῖτε ἐπὶ τοῦ προσέχειν τοῖς πράγμασι τὸν νοῦν.

οἷον ἂν] Εὔφημως αὐτὸ εἶπε φάναι, φάσκων οἷον ἂν ὑμεῖς βάλησθε,

ὀλιγωρῆτε, τοιοῦτον οἷον ἂν ὑμεῖς βέλησθε, παραδείγμασι χρώμενοι, τῇ τότε ῥώμῃ τῶν Λακεδαιμονίων, ἧς ἐκρατεῖτε ἐκ τοῦ περισχεῖν τοῖς πράγμασι τὸν νοῦν, καὶ τῇ νῦν ὕβρει τούτου, δι' ἣν ταραττόμεθα, ἐκ τοῦ μηδὲν φροντίζειν ὧν ἐχρῆν.

γ'. Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Αθηναῖοι, δυσπολέμητον οἴεται τὸν Φίλιππον εἶναι, σκοπῶν τό,τε πλῆθος τῆς νεὼς ὑπαρχούσης αὐτῷ δυνάμεως, καὶ τὸ τὰ χωρία πάντα ἀπολωλέναι τῇ πόλει, ὀρθῶς μὲν

## ΣΧΟΛΙΑ.

λησθε, τουλάχιστον ἀργίας νικῆσαι.

παραδείγμασι] Πρὸς τὸ οὐδὲν ὑμῖν ἴσχι φοβερόν.

χρωμένοις] Ἐὰν δὲ χωρὶς τοῦ ς, πρὸς τὸ ἵνα εἰδῆτε χρώμενοι.

καὶ τῇ νῦν ὕβρει] Ἀνω μὲν ὅτε ἦλεξε περὶ Δακεδαιμονίων, ῥώμην εἶχεν· ἐνταῦθα δὲ ἐπειδὴ θέλει ταπεινοῦν τὸν Μακεδόνα, ὕβριν εἶπε· φαίνεται δὲ τοῦτο ἔχθιστον τοῖς Αθηναίοις· καὶ γὰρ ἐλευθερίας ἐρασταὶ καθεστήκεισαν.

Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Αθηναῖοι] Εἰσβολὴ καὶ τὸ κεφάλαιον τὸ δυναλόν.

Εἰ δέ τις ὑμῶν] Οσας εἶδεν ὁ ῥήτωρ ἰσχυρὰς ἀντιθέσεις, πρῶτον τούτων λύει τὰς λύσεις· εἶθ' οὕτω σαθρὰς ἀποδείξας αὐτὰς, προφανῶς προβάλλεται· ὥστερ οὖν καὶ ταύθα· τὴν δὲ ἀντίθεσιν τὴν πρώτην εἰς δύο καταστρεφάζει, εἴ τε τῆς τότε δυνάμεως, καὶ ὀλίγων ἐκ τῆς οἰκείας ἀσθενείας τῶν Αθηναίων· εἶτα ἐπειδὴ εἰ καὶ τὰ μάλιστα ἐδόκει λελύσθαι ἡ ἀντίθεσις, ὅλως ἦτι σφοδρὰ ἦν, τὴν μὲν ἀρχὴν συνῆρχε τῷ ἀντιθέτῳ· δεῖ γὰρ τὸν ῥήτορα διὰ τὸ μὴ δοκεῖν ἀναιδῆ, καὶ τοῖς προφανῶς ἀληθέσι πολέμιον, ἐπὶ τῶν τοιούτων, τὴν μὲν ἀρχὴν συνδιδόναι, τελευταῖον δὲ καὶ ὑπὲρ τῆς συμπεράσεως ἀπολογεῖσθαι.

δυσπολέμητον] Δυσπολέμητον εἶπε, καὶ οὐχὶ ἀκαταγώνιστον· ὁ μὲν γὰρ ἀκαταγώνιστος, οὐδέποτε ἡττᾶται· ὁ δὲ δυσπολέμητος, δυσχερῶς μέν, ὅμως δὲ καταγωνίζεται· ὅπερ

μὴν οἴεσθ' λογισάσθω μέντοι τοῦτο, ὅτι εἴχομέν ποτε ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, Πύδναν, καὶ Ποτίδαιαν, καὶ Μεθώνην, καὶ πάντα τὸν τόπον τοῦτον οἰκεῖον κύκλῳ, καὶ πολλὰ τῶν μετ' ἐκείνους νυνὶ ὄντων ἐθνῶν, αὐτονομούμενα καὶ ἐλεύθερα ὑπῆρχε· καὶ μᾶλλον ἡμῖν ἐβούλετ' ἔχειν οἰκείως, ἢ ἐκείνῳ. Εἰ τοίνυν ὁ Φίλιππος τότε ταύτην ἔσχε τὴν γνώμην, ὡς χαλεπὸν πολεμεῖν ἐστιν Ἀθηναίοις, ἔχουσι τοιαῦτα ἐπιχειρήματα, τί ἂν περὶ χώρας, ἔρημος ὢν συμμάχων, οὐδὲν ἂν ὧν νυνὶ πεποίηκεν, ἔπραξεν· οὐδὲ τοσαύτην ἐπήσατο

## ΣΧΟΛΙΑ.

ἅπερ ἐπαῦθα θέλων ὑποφῆναι, παρέθηκε.

‡ λογισάσθω μέντοι τοῦθ' ὅτι] Συνέχει τοῖς ὁμολογουμένοις ἐπὶ τῷ τὸ σπουδαζόμενον ἀνῦσαι.

κύκλῳ] Τινὲς φασιν ὅτι, ἐπειδὴ ἀμφὶ ἐστιν ὁ τόπος, διὰ τοῦτο εἴτε τὸ κύκλῳ· οἱ δὲ, ὅτι ἐπειδὴ ἐν κύκλῳ αὗται ἔκειντο.

Εἰ τοίνυν] Τὸ καθ' ὑπόθεσιν τὸ σχῆμα.

ἐπιθαχίσματα] Ἐπιθίσχισμα, τόπος ὑψηλὸς, ὃν ἂν προκαταλαβόντες πολέμιοι τειχίσειαν, διὰ τὸ ἐνθεῦθεν αὐτοὺς ὁρμωμένους ἐκτίθεσθαι τοῖς ἐχθροῖς· ἐκεῖνος δὲ διὰ τὸ φοβεῖν, ὄρος ζήλον τῶν Ἀθηναίων, ἐπαίνει τὸν Μακεδόνα· οἶδε γὰρ ἐν καιρῷ ἐπαινεῖν καὶ τὸν πολέμιον.

‡ ἀλλ' οἶδεν, ὦ ἄνδρες Ἀθηναῖοι τοῦτο καλῶς] Οὐκ ἔπαινον ἔχει τὸ Φιλίππου μόνον ὡς καλῶς τι ποιήσαντος, ἀλλὰ καὶ προλοιπὴν τῶν Ἀθηναίων· μιμήσασθε γὰρ, φησὶ, καὶ ὑμεῖς τὸν καλῶς προσθέντα.

ἄθλα τοῦ πολέμου] Ἐκ μεταφορᾶς τοῦ κτημένου τοῖς παλαίουσιν·

σαλο δυνάμιν· ἀλλ' οἶδεν, ὦ ἄνδρες Αθηναῖοι, τοῦτο καλῶς ἐκεῖνο, ὅτι ταῦτα μέν ἐστιν ἄπαντα τὰ χωρία, ἆθλα τοῦ πολέμου κείμενα ἐν μέσῳ· φύσει δ' ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόντων, καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ κινδυνεύειν, τὰ τῶν ἀμελούντων· καὶ γάρ τοι ταύτῃ χρησάμενος τῇ γνώμῃ, πάντα καλέσεσθαι καὶ ἔχει, τὰ μὲν, ὡς ἂν ἑλών τις ἔχοι πολέμῳ· τὰ δ', σύμμαχα καὶ [1] φίλια ποιησάμενος· καὶ γὰρ συμμαχεῖν καὶ προσέχειν τὸν νοῦν τούτοις ἐθέλουσιν ἅπαντες, οὓς ἂν ὁρῶσι παρεσκευασμένους

1 φίλα.

## ΣΧΟΛΙΑ.

οισιν ἆθλον ἐν μέσῳ. Ἐπαθλα δὲ οὐκ εὑρῆσαι, εἰ μὴ ἅπαξ παρ' Εὐριπίδῃ.

‡ καὶ τοῖς ἐθέλουσι πονεῖν] Τὰ τῶν ἀμελούντων τῶν προνοούντων ἐστίν.

καὶ τοῖς ἐθέλουσιν] Θρᾷ ὅτι δι' ἐκείνου τοῦ τρόπου φησὶν αὐτὸν ἠρηκέναι τὰς πόλεις, δι' ὃ βούλεται αὐτὰς προσέχειν τοῖς πράγμασι.

τὰ μὲν, ὡς ἂν ἑλών τις] Ἐπειδὴ τὸ καλέσεσθαι φοβερόν ἐστιν, ἐπήγαγε ταπεινώσεως χάριν, ὡς ἂν ἑλών τις ἔχοι πολέμῳ.

καὶ γὰρ συμμαχεῖν] Ἐπειδὴ ἐλύπει τὰς Αθηναίους τὸ τὸν Φίλιππον ἔχειν συμμάχους καὶ φίλους, διὰ τῆς καθολικῆς γνώμης τοῦτο ἐθεράπευσε.

τούτοις ἐθέλ.] Ἐπειδὴ ἀνωλέρων ἐφόβησεν αὐτὰς, εἰπὼν αὐτὸν τὸν Φίλιππον ἰσχυρὸν διὰ τοῦ ἔχειν συμμάχους, ἐπήγαγε τοῦτο παραμυθούμενος, ὡς ὅτι ἐὰν αὐτοὶ

τὰ

μήτε καὶ πράττειν ἐθέλοντας ἀ χρή.

δ'. Αν τοίνυν, ὦ ἄνδρες Αθηναῖοι, καὶ ὑμεῖς ἐπὶ τ τοιαύτης ἐθελήσητε γνώμης νυνὶ, ἐπειδή περ ὑ πρότερον, καὶ ἕκαστ@ ὑμῶν ἃ δεῖ καὶ δυνατ' ἂν ὠφελεῖν αὐτὸν χρήσιμον τῇ πόλει, πᾶσαν ἀφεὶς τὴν εἰρωνείαν, [1] ἕτοιμ@. πράττειν ὑπάρξῃ· ὁ μὲν χρήματα ἔχων, εἰσφέρειν· ὁ δ' ἐν ἡλικίᾳ, στρατεύεσθαι· σωματόνλι δ' ἁπλῶς εἰπεῖν, ἣν ὑμῶν αὐτῶν ἐθελήσητε γνώμης, καὶ παύσησθε, αὐτὸς μὲν οὐδὲν ἕκαστ@ ποιήσειν ἐλπίζων, τὸν

[1] ἑτοίμως.

## ΣΧΟΛΙΑ.

τὰ αὐτὰ ἐθέλωσι πρᾶξαι, εὐχερῶς αὐτὸν καθαιρήσουσιν. Ἄξιον δὲ ζητῆσαι πῶς ἀλλαχοῦ καθελὼν αὐτοῦ τὴν δύναμιν, διὰ τοῦ εἰπεῖν ὅτι οἱ πολλοὶ αὐτοῦ ἀφίστανται, καὶ νῦν λέγει ὅτι πολλοὺς ἔχει συμμάχους. Λέγομεν ὅν, ὅτι τὸν τρόπον διέξεισι τῶν ὑπηκόων· εἰ γὰρ καὶ μισοῦσι καὶ φεύγουσι τοὺς δυνατοὺς, ἀλλ' ἐν ὅσῳ μὴ πράττουσί τι οἱ ἀσθενοὶ διὰ ῥᾳθυμίαν, ἀναίσχυντα προσρίχουσι τοῖς δυνατοῖς, ἵνα μὴ μόνα τῶν ῥᾳθύμων ὄντες πάθωσι μετ' αὐτῶν· εἰ δὲ πόλις ῥᾳθυμοῦσι σπουδάσουσι, καὶ τὴν ῥᾳθυμίαν ἀπωθήσασθαι θελήσουσιν, εὐθέως προς αὐτοὺς ἀποστήσονται.

ἀφεὶς τὴν εἰρωνείαν] Ἰσέον ὅτι εἰρωνία ἐστὶν ἀναίσχυντος ἀλαζονείας· ἀλαζονεύσθαι μὲν γάρ ἐστι, τὸ πλείονα ἑαυτῷ ἐπαγγέλλεσθαι δύνασθαι ποιεῖν, ἅπερ δύναιτο· εἰρωνεία δὲ, τὸ λέγειν ἐλάττονα δύνασθαι ποιεῖν, ἢ ἔστιν ἃ δεδύνηται.

αὐτὸς μὲν οὐδὲν ἕκαστ@] Ἰδιον γὰρ καὶ τοῦτο τῶν ῥᾳθυμούντων.

ἂν θεὸς θέλῃ] Εἰς οὐρανὸν τὰς ἐλπίδας ἀνέπεμψεν, ἵνα ἐὰν εἰκὸς ταῦτα ποιησάντων μὴ ἀποβαίνῃ τὰ συμφέροντα, ἔχῃ ἀπολογίαν· τὸ

[1] Deeſt ἢ.

τον

τὸν ὃ πλησίον πάνθ' ὑπὲρ αὐτοῦ πράξειν, καὶ τὰ ὑμέτερ' αὐτῶν νομεῖτε ἂν θεὸς θέλῃ, καὶ τὰ καλέρραθυμημένα πάλιν ἀναλήψεσθε, κἀκεῖνον τιμωρήσεσθε· μὴ γὰρ ὡς θεῷ νομίζετ' ἐκείνῳ τὰ παρόντα πεπηγέναι πράγματα ἀθάνατα, ἀλλὰ κἂν μισεῖ τις ἐκεῖνον κἂν δέδιεν, ὦ ἄνδρες Ἀθηναῖοι, κἂν φθονεῖ, κἂν τῶν πάνυ νεῶν δοκούντων οἰκείως ἔχειν αὐτῷ· καὶ ἅπανθ' ὅσα περ κἂν ἐν ἄλλοις τισὶν ἀνθρώποις ἔνι, ταῦτα κἀν τοῖς μεθ' ἐκείνου χρὴ νομίζειν ἐκεῖναι· καλέπηχε μέντοι ταῦτα πάντα

## ΣΧΟΛΙΑ.

τῇ χάριτι εἰληφότι ἤδη τὴν δόσιναι τῷ θεῷ προσήκοντα· οἱ δὲ, διὰ τὸ φιλόθεον τὸ οἰκεῖον ἦθος παραστῆσαι.

‡ ἀλλὰ κἂν μισεῖ τις ἐκεῖνον] Τὸ μεῖζον ἐν μέσῳ θεὶς ἀπέχρωψε τοῖς ἄκροις τὸ ἰσχυρόν.

μισεῖ τις ἐκεῖνον] Μισεῖ μὲν, ὁ ἤδη πιστοθὲς κακῶς· δέδια δὲ, ὁ μηδέπω μὲν ὑπομένας, προσδοκῶν δέ· φθονεῖ δὲ, ὁ ὁρῶν αὐτὸν αὐτοῦ τὰς πόλεις καθαιρεθόμενον. Ἀνθυπόπτου δὲ λύσις· ἵνα γὰρ μή τις εἴπῃ, πῶς οὖν εἰ μισοῦσιν αὐτὸν οὐκ ἀφίστανται αὐτοῦ· ἐπάγει ὅτι ἄκοντες καὶ φοβούμενοι εἰσὶν ἀπ' ἐκείνου, διὰ τὸ μὴ εὑρίσκειν τινὰ καταφυγὴν πρὸς ἡμᾶς ῥᾳθυμίᾳ καθεχομένους· κἂν μὲν ἤδη ἐπείσθησαν αὐτῷ κἂν ἔπεμψαν βοήθειαν πρὸς Ὀλυνθίους· πῶς οὖν ῥᾳθύμους αὐτοὺς καλεῖ; Καθὸ μηδεὶς ἐκπόδιος φαίνοιτο, εἰ βούλοιτό τις αὐτοῖς ἐπιλυμήσεσθαι διὰ τοῦ συμβουλεύειν καὶ πείθειν φαύλα.

καὶ ἅπανθ' ὅσα] Τοῦτο τὸ σχῆμα καλεῖται καθαίρεσις· κἂν γὰρ διὰ τέτταρα ὄθιον ῥᾳδίως κἂν μάλιστα ἡ βλάβη προσγίνοιτο, τῷ καθόλου τὸν λόγον ἐπιστώσαιτο.

καλέπηχε] Ταπεινοῦται· οὔτε γὰρ ὁ μισῶν βλάπτει, διὰ τὸ ἠμᾶς ῥᾳθυμεῖν· οὔτε ὁ δειδὼς, ἕτερόν τι φρονῆσαι δύναται· ἐπισφαλὴς γάρ· οὔτε ὁ βασκαίνων ἀπλῆσαι.

Digitized by Google

πάντα νικῶν ἀλλ' ἔχοντα ἀπασφαλῆ, διὰ τὴν ὑμετέραν βραδυτῆτα καὶ ῥαθυμίαν, ἣν ἀποθέσθαι φημὶ δεῖν ἤδη. Ὁρᾶτε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ πρᾶγμα οἷ' περιελήλυθεν ἀστελγείας ἄνθρωπος, ὃς οὐδ' αἱρέσιν ὑμῖν δίδωσι δ' πράττειν, ἢ ἄγειν ἡσυχίαν, ἀλλ' ἀπειλεῖ, καὶ λόγους ὑπερηφάνους, ὡς φασι, λέγει· καὶ οὐκ οἶός τέ ἐστιν, ἔχων ἃ κατέσκευται, μένειν ἐπὶ τούτων,

## ΣΧΟΛΙΑ.

γῆναι, ἀδύνατον γάρ.

‡ Ὁρᾶτε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι.] Τοῦτο τὸ συμφέρον· καὶ ἁμῶς ἁμῶς δὲ τῷ δυνατῷ.

ἀστελγείας.] Ἀσέλγημα κοινῶς καλεῖται πᾶσα ὕβρις, οὐχὶ περὶ τὰ ἀφροδίσια μόνον.

ὃς οὐδ' αἱρέσιν.] Τουτέστι διὰ τὴν ὕβριν τοῦ Μακεδόνος, οὐδὲ δυνατὸν καθεστήκαμεν πράττειν ἃ βουλόμεθα, ἀλλὰ καὶ ἐξ ἀνάγκης ἔχομεν πολεμῆσαι. Διὰ δὲ τοῦτο τὸ ἀναγκαῖον παρίησιν. Ἀναγκαῖον δέ ἐστιν ὃ χαλεπόν. ζῆν δ' δυνατόν.

τῷ πράττειν.] Οὐκ εἶπεν ἁπλῶς πολεμεῖν, ἀλλὰ κοινοτέρῳ ὀνόματι ἐχρήσατο, τῷ πράττειν. οἷον τοῦ ψηφίζεσθαι, τῷ δικάζειν, τῷ γεωργεῖν, καὶ τῶν λοιπῶν.

1 Deest ζῆν.

καὶ λόγους ὑπερηφάνους.] Ἵνα μὴ λέγῃ τὰ φρόνιμα τοῦ Μακεδόνος καιρὸς οἶμαι δόξῃ, τοῦτο χάριν παρεισβάλλει αὐτά.

προστριβαλλεῖται.] Τινὲς φασιν, ἐπειδὴ κυκλοτερῶς ἐκείνῳ αἱ πόλεις ἐς παρέλασιν ὁ Φίλιππος, τέτε χάριν εἶπεν οὕτως· ἄλλοι δὲ, ἀπὸ μεταφορᾶς τῶν κυνηγῶν, οἵ τινες κύκλῳ περὶ πᾶσας τὰς ὁδοὺς καὶ πάσας τὰς ἐκβατὰς τὰς ἄρκυς περιβάλλουσιν, ὑπὲρ τοῦ μὴ διαφυγεῖν τὰ θηρία ἐκεῖθεν. Καὶ τὸ παρισοχίζεται πάλιν ἐπήγαγεν· ὅθεν καὶ ἄμεινον ἦν τὸ σχῆμα Ἀλλως. Ἀπὸ μεταφορᾶς τῶν κυνηγῶν· καλὰ γὰρ τὰς ἐπόρμας τῶν θηρίων ὀρθὰ ξύλα ἱστᾶσιν, ἃ καλοῦσι στοίχους, καλαπελαύνοντες αὐτῶν δι-

2 Deest τὸ σχῆμα.

ἵνα,

τούτων, ἀλλ' αἰεί τι περαιτεροβάλλει, καὶ κύκλῳ πολλαχῇ μέλλοντας ἡμᾶς καὶ καθημένους περιστοιχίζει.

ε. Πότ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πότε ἃ χρὴ πράξετε; ἐπειδάν τι γένηται; ἐπειδὰν νὴ Δία ἀνάγκη τις ᾖ; νῦν δ' τί χρὴ τὰ γιγνόμενα ἡγεῖσθαι; ἐγὼ μὲν γὰρ οἶμαι τοῖς ἐλευθέροις μεγίστην ἀνάγκην τὴν ὑπὲρ τῶν πραγμάτων αἰσχύνην εἶναι.

## ΣΧΟΛΙΑ.

κλίνας, ἵνα ἐὰν αὐτοὺς ἐκφύγῃ τὰ θηρία, εἰς τὰ δίκτυα ἐμπέσῃ. Ἐνια δὲ τῶν ἀπιγράφων περιστοιχίζεται ἔχει.

καὶ καθημένους] Ἐπειδὴ φοβεῖ τὸ λέχθεν, φησὶν, ὡς ἐπικυρεῖσαν τὴν ἡμέτεραν ῥᾳστώνην κλησάμενος, τοῦτο διακρατεῖται Φίλιππος.

‡ περιστοιχίζεται] Ἡ μεταφορὰ ἀπὸ τῶν κυνηγετῶν.

Πότ' οὖν. Ὦ ἄνδρες Ἀθηναῖοι] Μεταβάσεως καὶ ἐνταῦθα ἐπὶ τὸ ἀναγκαῖον· δείκνυσι γὰρ ὅτι ἐξ ἀνάγκης ταῦτα ποιητέον. Ἐστι δὲ καλὰ ἐπιτίμησις· διὸ καὶ τὸ δεύτερον πότε βαρυτέρᾳ τῇ φωνῇ προσφέρεται· τρόπον δὲ διαγράφει ἐντεῦθεν τῶν ῥαθυμούντων. Ἐστι δὲ τὸ σχῆμα διαπορητικόν· εἶτα τῇ ἐρωτήσει τὴν [1] ἀπόκρισιν οὐκ ἀποδίδωσιν, ἀλλ' ὑπὸ τῆς ὀργῆς αὐτὸς ἀντὶ τοῦ δεῖσθαι ἠρωτημένος φθέγγεται.

ἐπειδάν] Ὡς ἐν ἤθει ἀναλωτίου τὸ, ἐπειδάν.

νὴ Δία ἀνάγκη] Οὐδὲν χαλεπώτερον αἰσχύνης τοῖς ἐλευθέροις καθίστησιν.

‡ ἐγὼ μὲν γὰρ οἶμαι] Εἰ μὲν δούλων ἀνάγκην ζητεῖς, ἐκδέχου πληγάς· εἰ δ' ἐλευθέρων, ἡ τῶν πραγμάτων αἰσχύνη μεγίστη ἀνάγκη καθίστησιν· ἴσως δὲ τοῦ συμφέροντος.

ἐγὼ μὲν γὰρ οἶμαι] Εἰκὼν [2] τὸ μὲν, ὃν ἐπῆρε τὸν δὲ, ἐπειδὴ ἔμελλεν ἐπιφέρειν, ὑμεῖς δὲ αὐτὸν οὐκ ἠνείσθε αἰσχύνην, ὅπερ ἦν ὑβριστικόν· καὶ διὰ τοῦτο τὸ μὲν σιωπᾷ· ἄλλο δὲ ἐπιφέρει τούτῳ ὅμοιον.

1 διάκρισιν.

2 γὰρ τὸν.



Digitized by Google

ναι. Η βούλεσθε, εἰπέ μοι, ωφελιώτερα αὐτῶν πεισθάνεσθαι τῷ λόγῳ, λέγειά τι καινόν; γνοίη γὰρ ἄν τις καινότερον, ἢ Μακεδὼν ἀνὴρ Αθηναίους καλαπολεμῶν, καὶ τὰ τῶν Ελλήνων διοικῶν; τέθνηκε Φίλιππος; οὐ μὰ Δί' ἀλλ' ἀσθενεῖ. Τί δ' ὑμῖν διαφέρει; ἐὰν γὰρ ὅτος τι πάθῃ, ταχέως ὑμεῖς ἕτερον Φίλιππον ποιήσεσθε, ἂν περ οὕτω προσέχητε τοῖς πράγμασι τὸν νοῦν· νῦν δὲ γὰρ οὐδ' ὡς τῷ λόγῳ ῥώμην τοσαύτην ἐπηύξησθε, ὅσον ὡς τῷ ἠμελήσατε ἀμέλειαν. Καίτοι καὶ τοῦτο, εἴ τι πάθοι, καὶ τὰ

## ΣΧΟΛΙΑ.

‡ Η βούλεσθε, εἰπέ μοι] Ανὶ τοῦ ἆρα ἀπορημαϊκῶς.

εἰπέ μοι] Δίον εἰπεῖν εἰταλέ μοι, ωρὸς τὸ βούλεσθε, εἰπέ μοι εἶπεν Αττικῶς.

Αθηναίους] Τὰς τὸν Πέρσην ἀπὸ τῆς Ελλάδος διώξαντας, ἐκ Πέλλης ὁρμώμενος ἀνδρὸς καλαπολεμεῖ.

τέθνηκε Φίλιππος] Τινὲς καὶ ἐντεῦθεν ὁρμώμενοί φασιν ὅτι ωρῶτος ὅτος ὁ λόγος· καὶ γὰρ ἡ ἀσθένεια Φιλίππου, ωρὸ τῆς ωολιορκίας Ολύνθου· ἀλλὰ φαμὲν ὅτι ἐκ ἀπεικὸς αὐτὸν τοιοῦτον θεῖναι, ὡς ἐν ωαραδείγματι, κἂν ἦν τοῖς χρόνοις ωρογενέστερον· ἅτε δὴ γὰρ ἐκεῖνοι ταῦτα Φίλοις γίνεσθαι, ἐθρύλλουν.

ταχέως ὑμεῖς] Η ῥαγώνη, φησὶ, ωολλοὺς τύλους Φιλίππους δύναται· καὶ γὰρ ωαρ' ὑμῖν οὕτως τῆς ἀμελείας, ταχέως γενήσεται καὶ ἕτερος Φιλίππους. Αλλοι δέ τινες ωεριέργως φασὶ, διὰ τὸν Αλέξανδρον αὐτὸν τοῦτο λέγειν κατ' ὑπόθεσιν τὸ λεγόμενον.

τοσαύτην ἐπηύξησθε] Καλῶς ἠσφαλίσατο διὰ τὸ σιθανόν· οὐ γὰρ πάλιν πάλιν διὰ τῆς ῥαθυμίας



Digitized by Google

τὰ τῆς τύχης ἡμῖν [1] ὑπάρξαι, ἅπερ αἰεὶ βέλτιον ἢ ἡμεῖς ἡμῶν αὐτῶν ἐπιμελούμεθα, καὶ τοῦτο ἐξεργάσαιτο, ἴσθ' ὅτι πλησίον μὲν ὄντες, ἅπασιν ἂν τοῖς πράγμασι τεταραγμένοις ἐπῆτε, ὅπως βούλεσθε διοικήσαισθε· ὡς δὲ νῦν ἔχετε, οὐδὲ διδόντων ὑμῖν τῶν καιρῶν Ἀμφίπολιν, δέξασθαι δυνήσεσθ' ἄν, ἀπειλημμένοι καὶ ταῖς ὠθισμοῦσαις καὶ ταις γνώμαις.

ε'. Ὡς μὲν οὖν δεῖ τὰ πρόσηκοντα ποιεῖν ἐθέλοντας ὑπάρχειν ἅπαντας ἑτοίμους, ὡς ἐγνωκότων ὑμῶν καὶ πεπεισμένων, παύομαι λέγων· τὸν δὲ τρόπον τῆς

1 ὑπάρξει.

## Σ Χ Ο Λ Ι Α.

Ἀθηναίων, ἀλλὰ καὶ τινὰ διὰ τῆς αὐτοῦ ῥώμης κατώρθω.

ἴσθ' ὅτι πλησίον] Τοῦ γὰρ Βασιλέως τοῦ Περσῶν πολεμίου, καὶ τῶν ὑπηκόων, ὡς εἰκὸς ἦν, διχοστούντων, αὐτοὶ προτιθέμενοι 1 ἐνίοις ἐξ αὐτῶν ἠδύναντο 2 τῶν ἑτέρων περιγενέσθαι καὶ οἰκεῖον βασιλέα καταστῆσαι.

[1] ἀπειλημμένοι] Ἀντὶ τοῦ κεχωρισμένοι.

ἀπειλημένοι] Ἀντὶ τοῦ κεχωρισμένοι, περιπάμενοι.

Ὡς μὲν οὖν δεῖ] Ἐπιτίθει μέτρον εἰσὶν ἐπὶ τὸ ἄλλο μέρος τοῦ δυνατοῦ· εἰς δύο γὰρ τοῦτο ἐτέμνει· εἴς τε τὸ, ὅτι ἐᾶν κάθωμεν τὴν αὐτὴν γνώμην Φιλίππῳ, δυνάμεθα νικῆσαι, ὃ ἤδη καὶ ἐξειργασαι· καὶ εἰς τὸ, ὅσον τῆς δυνάμεως καὶ τὸν τρόπον τοῦ πόρου, ὃν νῦν ἐρεῖ. Διὰ μέσου δὲ εἶπε τὸ ἀναγκαῖον.

πεπεισμένων] Ἀντὶ τοῦ πεισθέντων· τοιοῦτος δὲ ὁ Δημοσθένης· τὰ ἀμφιβαλλόμενα, λαμβάνων ὡς ὁμολογούμενα.

τὸν δὲ τρόπον τῆς παρασκευῆς] Πῶ-

1 ἐνίοις. 2 τῶν ἑτέρων γενέσθαι.

τερον

τῆς παρασκευῆς, ἢν ἀπαλλάξαι, ἂν τῶν τοιούτων πραγμάτων ὑμᾶς ἡγῶμαι, καὶ τὸ πλῆθος ὅσον, καὶ πόρους οὕς τινας χρημάτων, καὶ τἄλλα ὡς ἂν μοι βέλτιστα καὶ τάχιστα δοκῇ παρασκευάσθαι, καὶ δὴ πειράσομαι λέγειν, δεηθεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι τοσοῦτον, ἐπειδὰν ἅπαντα ἀκούσητε, κρίνατε, καὶ μὴ πρότερον παραλαμβάνετε· μηδ' ἂν ἐξ ἀρχῆς δοκῶ τινὶ καινῶς παρασκευῶν λέγειν, ἀναβάλλεσθαί με τὰ πράγματα ἡγεῖσθε. Οὐ γὰρ ὁ ταχὺ καὶ τήμερον εἰπόντες, μάλιστα εἰς δέον λέγουσιν· οὐ γὰρ ἂν τάχ' ἤδη γεγήρασε, τῇ νυνὶ βοηθείᾳ

## ΣΧΟΛΙΑ.

τιρον ἐκ πολιτῶν, ἢ ξένων αὕτη γίνεται.

καὶ τάχιστα] Καὶ τὸ τάχιστα προστέθηκεν. ἐπειδὴ μικρὰν μέλλει λέγειν βοήθειαν ποιεῖσθαι, ἵνα τὸ τάχος πρὸς ἀπολογίαν ἔχῃ.

δεηθεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι] Προθεραπεία κέχρηται, ἐπειδὴ εἶδεν αὐτοὺς ἡδέως τὰ μέγιστα ψηφιζομένους· μηδὲν δὲ ἄξιον ποιεῖσθαι τῶν δεδομένων· θέλει δὲ αὐτοὺς ἐκείνην τὴν βοήθειαν πέμψαι, ἣν δύναται· τούτου χάριν ταύτῃ κέχρηται.

τοσοῦτον] Ἀντὶ τοῦ ὀλίγον.

καινῶς παρασκευῶν] Ὡς πρὸς τὴν τῶν Ἀθηναίων δόκησιν· καὶ γὰρ αὐτοὶ πολλὰ ἤθελον· ὁ δὲ Δημοσθένης εἰδὼς ὡς ἔχει τὰ πράγματα, ὀλίγα.

ἀναβάλλεσθαι] Ἀναβολὴν τοῖς πράγμασι ποιεῖν.

Οὐ γὰρ οἱ ταχὺ καὶ τήμερον εἰπόντες μάλιστα εἰς δέον] Οὐχὶ γὰρ οἱ λέξασιν ἡμῖν ἐξαίφνης, χρήσιμοι εἰσι σύμβουλοι· ἀλλ' ἐκεῖνος ἄρις σύμβουλος, ὃς ἂν παρασκευὴν

θεία κωλύσαι δυνηθείημεν· ἀλλ' ὃς ἂν δείξῃ, τίς ἡ παρασκευὴ, καὶ πόση, καὶ πόθεν διαμεῖναι δυνήσεται, ἕως ἂν ἢ διαλυσώμεθα πειθόμενοι τὸν πόλεμον, ἢ ὠφεληθώμεθα τῶν ἐχθρῶν· ἔτω γὰ ἀκέτι ἐ λοιπὸ πάσχομεν ἂν κακῶς. Οἶμαι τοίνυν ἐγὼ ταῦτα λέγειν ἔχειν, μὴ κωλύων εἴτις ἄλλο ἐπαγγέλλεταί τι. Ἡ μὲν οὖν ὑπόθεσις, ἔτω μεγάλη· τὸ δὲ πρᾶγμα, ἤδη τὸν ἔλεγχον δώσει, κελεύω δ' ὑμᾶς ἕσεσθε.

ζ. Πρῶτον μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τριήρεις πεντήκοντα παρασκευάσασθαί φημι δεῖν· εἶτ' αὐτὰς ἔτω τὰς γνώ-

## ΣΧΟΛΙΑ.

σκειν ἐξεύρει καὶ πόρον, ὃ ἂν ἀδιάφθορον ἔχῃ τὴν δύναμιν.

Τῇ νυνὶ βοηθείᾳ] Καλεῖ, βοήθειαν μὲν τὴν παρασκευὴν μέλλα παρέγμαι· παρασκευὴν δὲ τὴν ἀποστελλομένην πρὸς τὸ φυλάξαι τὰς πόλεις.

Πορισθεῖσα] Ξενικὴ, ἡ στρατιωτική.

Πόση] Πόσους δεῖ πλεῖν στρατιώτας.

Ἕως ἂν ἢ διαλυσώμεθα] Πάνυ καλῶς, ἵνα μὴ δόξῃ νικήσαι τι ποιεῖν προλέγων τὸ νικήσωμεν, προέταξε τὸ μῦσαι τὸν πόλεμον, εἶτα διὰ τὸ κακοσύμβουλον, εἶπε τὸ πειθόμενοι.

Οὕτω γὰρ ἔχει τῷ λοιπῷ] Νικήσαιμεν, ἢ συλλάβοιμεν τὴν τῶν πολεμίων ὄφοδον.

Μὴ κωλύων] Λίθ τῷ τοὺς βουλομένους δημηγορῆσαι μὴ γινώσκων παρεπαίδων. Τινὲς δέ φασιν, ὅτι ἐξ ἀληθείας ὁ ῥήτωρ βούλεται τὰς δύο γενέσθαι παρασκευάς· ἄμεινον δὲ λέγειν, ὅτι ἐπειδὴ εἶπε μόνον τὴν ἑτέραν παρασκευὴν, ἐμμένει τοῖς Ἀθηναίοις· καὶ γὰρ ἡ-



Digitized by Google

γνώμας ἔχειν, ὡς ἐάν τι δέῃ, πλουτέον εἰς ταύτας αὐτοῖς ἐμβᾶσι· πρὸς ᾧ τούτοις, τοῖς ἡμίσεσι τῶν ἱππέων ἱππαγωγὸς τριήρεις ⁂ πλοῖα ἱκανὰ ἀντεπίσαι κελεύω. Ταῦτα μὲν οἶμαι δεῖν ὑπάρχειν, ἀπὸ τὰς ἀξαίφνης ταύτας ἀπὸ τῆς οἰκείας χώρας ἀπὸ στρατείας, εἰς Πύλας, καὶ Χερρόνησον, καὶ Ὀλυνθον, καὶ ὅποι βούλεται. Δεῖ γὰρ ἐκείνῳ τοῦτο ἐν τῇ γνώμῃ παρασῆναι, ὡς ὑμεῖς ἐκ τῆς ἀμελείας ταύτης τῆς ἄγαν, ὥσπερ εἰς Εὔβοιαν καὶ πρότερόν πού φασιν εἰς Ἁλίαρτον, καὶ τὰ τελευταῖα πρώην εἰς Πύλας, ἴσως ἂν ἐρεμήσαιτε. Οὐδὲ παντελῶς ἀδ' εἰ μὴ ποιήσαιτ' ἂν τοῦτο, ὡς ἔγωγέ φημι δεῖν,

ΣΧΟΛΙΑ.

δίους τὰ μέγιστα ἦσαν ψηφιζόμενοι, τούτου χάριν προσέθηκε καὶ ταύτην· ἀμέλει παρακαλῶν, ταύτην μὲν ὑπισχνούμενος, περὶ δὲ τῆς ἑτέρας σιωπῶν, τὸν λόγον ἐποιήσατο.

Καὶ πλοῖα] Τὰ φέροντα τὰ ἐπιτήδεια καὶ ὑπηρετικὰ, φησίν.

πρῶτον καὶ συνεχῶς παλαιτέρους, οὔτ' ἐπὶ τοῖς ἔργοις, οὔτ' ἐπὶ τοῖς αὐτῶν ἰδίοις ἐώμενοι διαλέγεσθαι, οὐδ' ὅσ' ἂν προείσωσιν, οὕτως ὅπως ἂν δυνώμεθα ταῦτ' ἔχοντες διαθέσθαι, κεκλεισμένων τῶν ἐμπορίων τῶν ἐν τῇ χώρᾳ διὰ τὸν πόλεμον.

ζ. Οἱ μὲν οὖν πολλοὶ Μακεδόνων τοῖς ἔχουσι Φιλίππῳ, ἐκ τούτων ἄν τις φοβηθείη οὐ κακῶς· οἱ δὲ δὴ καὶ αὐτὸν

τὸν

## ΣΧΟΛΙΑ.

φησὶ Ἰσοκράτης ἐν τῷ Βουσίριδι, ὅταν λέγῃ τὴν διάθεσιν. Ἄλλως. Διαθέσθαι ἀντὶ τοῦ ἀποδόσθαι, Ἰσοκράτης· καὶ διάθεσις ἀντὶ τοῦ διαφράσεως. Ἀντιφῶν δὲ ἀντὶ τοῦ διοικήσεως καὶ διαθέσθαι ἀντὶ τοῦ διοικῆσαι· παραλαμβάνεται δὲ καὶ ἐπὶ τοῦ συνθέσθαι, ὡς Ὑπερείδης, καὶ Δημοσθένης· ἐν τοῖς ἑξῆς· ἱκανῶς δὲ τούτων κεῖται καὶ ἐπὶ τοῦ διαθήκας γράφειν. Ἰσαῖος ἐν τῷ περὶ Ἀριστομένους, "Μετὰ ταῦ-"την τοίνυν τὴν ἀπόκρισιν ἑτέ-"ραν διαθήκην ἐκόμισαν, ἣν ἔ-"φασαν Ἀρχίππου ἐν Λήμνῳ "διαθέσθαι. Λυσίας ἐν τῷ περὶ Τιμωνίδου, "Πῶς δ' ἂν τῆς δια-"θέσεως τοῦ τελευτήσαντος ἀμε-"λήσαιμι, ἣν ἐκεῖνος διέθετο ἐ-"ι παρὼν, ἐδὲ γυναικὶ πιστεύσας;

ἐ παρὼν.

Παρ' Ἰσοκράτει δὲ καὶ ἐπὶ τῷ πάσχειν κεῖται τὸ διατίθεσθαι, ὡς φησιν ὁ Ἑλλάνιος ἐγκωμίῳ, "Γνοὺς δ' ἂν "τις ταῦτα ἐκείθεν ὅτι διαφέρει τῶν "ἄλλων, ἐξ ὧν αὐτοὶ διετέθημεν "πρὸς ἕκαστον τῶν καλῶν. Ἀντιφῶν δὲ τῇ διαθέσει ἐχρήσατο ἐπὶ γνώμης ἢ διανοίας· ὁ αὐτὸς δὲ καὶ ἐπὶ τοῦ διαθεῖναι λόγον, τοῦτ' ἔστιν ἐπὶ τῷ ἐξαγγεῖλαί τι, ἐν τῷ ις' τῆς ἀληθείας· ὁ αὐτὸς χέχρηται αὐτῇ καὶ ἐπὶ τῆς διακοσμήσεως.

οἱ δὲ δὴ περὶ αὐτὸν ἥλις.] Ὁρᾷς πῶς καλὰ μικρὸν τὸ ἀσθενὲς ἀποδείκνυσι τοῦ Φιλίππου, πρῶτον εἰπὼν ὅτι μισοῦσιν αὐτὸν οἱ σύμμαχοι, Ἕλληνές τε καὶ βάρβαροι, καὶ μάλιστα νῦν ἀπόστασιν· εἶτα καὶ αὐτοὶ οἱ Μακεδόνες οἱ πολῖται

αὐτῷ·

Digitized by Google

τὸν οὔτ' ξένοι, οὐδ' ἐπιζήτησις δόξαν μὲν ἔχουσιν ὡς εἰσὶ θαυμασοὶ καὶ συγκεκροτημένοι τὰ πολέμου· ὡς δ' ἐγὼ τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγυμνασμένων τινὲς ἦκουον ἀνδρὸς ὑδαρεῶς οἴου τε ψεύδεσθαι, οὐδέν εἰσι βελτίους. Εἰ μὲν γάρ τις ἀνὴρ ἦσαν ἐν αὐτοῖς οἷος ἔμπειρος πολέμου καὶ ἀγώνων, τούτους μὲν φιλοτιμία πάντας ἀπωθεῖν

1 πιζαίτιροι.

## Σ Χ Ο Α Ι Α.

αὐτῶν· εἶτα, ἵνα μήτις εἴπῃ, ἀλλ' ἃ καὶ οὗτοι οὕτως ἔχουσιν, ἀλλ' 1 οὐ ξενικά τινα γραμμάτια, βούλεται δεῖξαι, ὅτι καὶ οὗτοι δόξαν μέν τινα ἔχουσι καὶ ὑπόνοιαν πολεμικὴν· οὐ μέντοι ἐστὶν ἀληθῆ, ἐξ ὧν καὶ ἐπιφέρει.

† πιζέταιροι] 2 Θεόπομπός φησιν ὅτι ἐκ πάντων τῶν Μακεδόνων ἐπίλεκτοι οἱ μέγιστοι καὶ ἰσχυρότατοι ἔδορυφόρουν βασιλέως καὶ ἐκαλοῦντο 3 πιζέταιροι.

πιζαίτιροι] Πολλαὶ περὶ τούτου φέρονται ἐξηγήσεις· εἰ μὲν γὰρ φετὸ λέγεσθαι ὅτομα γραμμάτιον ἕτω λεγόμενον· οἱ δὲ, ὅτι τινὲς ἦσαν παρ' αὐτοῖς γραμματισταὶ, τὸν ἕτερον πόδα γυμνὸν ἔχοντες, τὸν δὲ ἕτερον ὑπλισμένον· διό φασι καὶ 4 πιζέτερους αὐτοὺς καλεῖσθαι, παρὰ τὸ τὸν ἕτερον πόδα γυμνὸν ἔχειν· πίζα γὰρ τὸ κάτωθεν τῆς ποδός· ὅθεν καὶ τὸ πιζεύειν, τὸ χαμαὶ πιεζεσθαι· οἱ δέ φασι, τοὺς ἀπὸ τῆς πλήθους τῶν πιζῶν ὧν εἶχε ξένων, ἐπιλέκτους καὶ φίλους γενομένους αὐτῷ, οἱονεὶ τινας ἐκλελεγμένους διὰ τὸ ἀνδρεῖον, ἵνα φυλάττωσιν αὐτόν· ἡ δὲ γραφὴ διάφορος παρὰ τὴν διάφορον ἐξήγησιν.

ἐν αὐτῇ τῇ χώρᾳ γεγυμνασμένων] Οἷον οἰκησάντων, οὐχ ἁπλῶς παραδυσαμένων τινός· οὐ γὰρ λέγων ἐπιστρέφει.

οὐδέν] Φασὶν οἱ τεχνικοὶ τῶν γραμματικῶν, ὅτι ἐν κυρίως κέκλιται ἡ γενικὴ 5 τοῦ οὐδείς οὐδενός.

βελτίους] Οὗτοι οἱ 3 πιζέταιροι.

εἰ μὲν γάρ τις] Τὸ σπάνιον ἐμφαίνει.

φιλοτιμία πάντας] Λείπει τοῦ διὰ φιλοτιμίαν, ἣν αὐτοὺς μόνος

1 αὖν. 2 Θεόπομπος. 3 πιζαίτεροι. 4 πιζετ. 5 Γ. ἡ εὐθεῖα τ. κεκλῆσθαι

ἀπωθεῖν αὐτὸν ἔφη, βελόμενον πάντας αὐτοῦ δοκεῖν εἶναι τὰ ἔργα πρὸς γὰρ αὖ τοὺς ἄλλους, καὶ τὴν φιλοκιμίαν τὰ δρὰς ἀνυπέρβλητον εἶναι. Εἰ δέ τις σώφρων, ἢ δικαίως ἄλλως, τὴν καθ' ἡμέραν ἀκρασίαν φεύγει, καὶ μέθην, καὶ κορδακισμοὺς οὐ δυναμένους φέρειν, παρεωρᾶσθαι καὶ ἐν ὕδατος εἶναι μέρει τὸν τοιοῦτον.

## ΣΧΟΛΙΑ.

χαίρεσθαι βάλλεται· τί οὖν ὁ ἐπαινετὸς καθ' ὃ δόξῃ; ὀρέγεται; εἰ μὲν γὰρ συμμέτρου ὀρέγεται, ἐπαινετὸς ἂν ἦν, νῦν δὲ τῷ φιλοναίζοντι, εἰς κενοδοξίαν, ὥσπερ λέγομεν, ἐμπίπτει· ἑκάστῃ γὰρ ἀρετῇ δύο κακίαι παρέπονται, καὶ ἔνδεια καὶ φιλονεικία.

ἢ δικαίως ἄλλως] Οἷον ἀπὸ φύσεως, φυσικῶς· ἴσα δείξῃ, ὅτι ἀπὸ διδαχῆς οὐκ ἔστι παρὰ Μακεδόσι γενέσθαι σώφρονα· τρία δὲ σημαίνει παρὰ τοῖς παλαιοῖς τὸ ἄλλως, οἷον τὸ καλὰ ἄλλον τρόπον· ἢ τὸ καλὰ φύσιν, ὡς ἐνταῦθα· ἢ τὸ μάτην. Πλαίωνικὴ δὲ λέξις· δοξῃ· φησὶ γὰρ ἐκεῖνος ἔτισθαι τὰς ἀρετὰς ἀλλήλαις, ὅτι τὸν ὅλα σώφρονα, καὶ δίκαιον εἶναι, καὶ φρόνιμον, καὶ ἀνδρεῖον.

τὴν καθ' ἡμέραν ἀκρασίαν] Οὐχὶ ἁπλῶς οὐδὲ τοῦτο· ἀλλ' ἵνα μή τις νομίσῃ ὡς τύραννον αὐτὸν τρυφᾶν καὶ ἐν τισιν ἡμέραις, καί τινας ἐπ' ἄριστον καλεῖν, διὰ τοῦ καθ' ἑκάστην ἡμέραν ταῦτα ποιεῖν, διδάσκει αὐτὸν ὡς μέθυσον, καὶ [1] τοῦτον βίον ἔχοντα ἀκρασίαν δὲ, ἀκοσμίαν τινὰ καὶ ἀταξίαν, παρὰ τὸ μὴ κεκρᾶσθαι.

κορδακισμοὺς] Ὀρχήσεις ἀσχήμονας· κορδακισμὸς γάρ ἐστιν εἶδος ὀρχήσεως αἰσχρᾶς καὶ ἀπρεπῶς· τῶν γὰρ ὀρχήσεων, ἡ μέν ἐστι πολεμικὴ, ὡς καὶ ἡ Πυῤῥίχη· ἡ δὲ γελαστικὴ, ἣ χρῶνται ἐν θιάτροις καὶ πότοις.

2 παρεωρᾶσθαι] Ἐπὶ μὲν τῶν ἀνδρείων, τὸ ἐκβάλλειν· ἐπὶ δὲ τούτων, τὸ 2 παρεωρᾶσθαι εἶπεν, οἱονεὶ καὶ ἀφρονεῖσθαι· καὶ ἐπὶ μὲν τῶν ἀνδρείων, τὸν φθόνον αἴτιον· ἐπὶ δὲ τῶν σωφρόνων, τὸ μῖσος.

1 τοῦτον 2 παρεῖσθαι.

λήθην

ἑαυτὸν. Λοιπὸς δὴ ὢν εἰκὸς αὐτὸν εἶναι λῃστὴν καὶ κόλακα καὶ ποιητὴν ἀνθρώπων, οὓς μεθυσθέντας ὀρχεῖσθαι ποιεῖτε διὰ ἐμοῦ νῦν ὀκνῶ πρὸς ὑμᾶς ὀνομάσαι. Δῆλον δ' ὅτι ταῦτ' ἐστὶν ἀληθῆ καὶ γὰρ ἐνθένδε πάντες ἀπήλαυνον, ὡς πολὺ τῶν θαυμαλοπαιῶν ἀσελγέστερους ὄντας, Καλλίαν ὀπεῖνον τὸν δημόσιον, καὶ τοιοῦτους ἀνθρώπους, μίμους γελοίων, καὶ ποιητὰς αἰσχρῶν ἀσμάτων, ὧν εἰς τοὺς συνόντας ποιοῦσιν ἕνεκα τοῦ γελασθῆναι,

τοὺς

## ΣΧΟΛΙΑ.

λῃστὰς καὶ κόλακας] Λῃστὰς, οἷονεὶ ἁρπαγάς τινας γραϊδίων· εἶτα ἐπειδὴ ἔμφασιν ἔχει τινὰ ἰσχυρὸν τὸ τῶν λῃστῶν, εἴγε λῃστεύσει τοὺς πολεμίους, ἐπαγαγὼν τούτῳ τὸ κόλακας, ἐπαπείλησεν αὐτῷ· φασὶ γὰρ τὸ φρόνημα οἱ κόλακες.

ὀκνῶ] Διὰ τὴν αἰσχρότητα.

Δῆλον δ' ὅτι ταῦτ' ἐστὶ] Ταῦτα εἰς πίστιν τοῦ ἀπαγγελλόμενον· ὥστε βούλεται αὐτὸς μάρτυρας Ἀθηναίους ποιήσασθαι ἐξ ὧν ἴσασι.

Καλλίαν ἐκεῖνον τὸν δημόσιον] Ὁ Ἀθηναίων δῆμος ἔθος εἶχεν ἀνιᾶσθαι σίτου γράμματα ἐπιτιμώμενος, τοὺς δὲ εὐπορίας ἀπολειφούσας ἠλευθέρου. Ὁ δὲ Καλλίας ἐξ ὧν τῶν οἰκείων καὶ καταγνωσθεὶς ἔφυγε εἰς Μακεδονίαν καὶ διέτριβε παρὰ Φιλίππῳ.

Καλλίαν ἐκεῖνον] Ἰσέον ὅτι ψληθυσιλικῶς εἶπεν, ὃς πᾶσιν ἀπήλαυνον, ἵνα ἐπάγαγει, ἐφ' ἑνὸς τὸ πλῆθος· ἡ μαξιμίας ἐξάμινος· δημόσιον δέ φησιν, ἐπειδὴ δῆλος εἶχον δημοσίους οἱ Ἀθηναῖοι ἀπὸ αἰχμαλώτων ποιήσαντες, καὶ ἐδίδασκον τούτους γράμματα, καὶ ἐξέπεμπον αὐτοὺς ἐν τοῖς πολέμοις μετὰ τῶν ταμιῶν καὶ τῶν γραμματέων, ἵνα ἀπογράφοιεν τὰ ἁναλισκόμενα· οὐκ ἀκαίρως δὲ τοῦτο ἐποίουν, ἀλλ' ἵνα διὰ τοῦ δύνασθαι τύπτειν ὡς δῆλος, ἔχωσιν μανθάνειν τὸ ἀληθὲς· αἰσχρὸν γὰρ

ἐξάμινος.

ἐπα-

τούτους αἰσχρῶ, καὶ περὶ αὐτὸν ἔχει. Καί τοι ταῦτα, ὦ μιερέ τις ἡγεῖται μεγάλα, ὦ ἄνδρες Ἀθηναῖοι, δείγματα τῆς ἐκείνης γνώμης καὶ κακοδαιμονίας ἐστὶ τοῖς δὴ φρονοῦσιν· ἀλλ' οἶμαι, νῦν μὲν ἀπιστοῦσι τούτοις τὸ καλοφθῶν· αἰ δὲ ὑπεροψίαι δεινὰι συγκρύψαι καὶ συσχιάσαι τὰ τοιαῦτα ὀνείδη· εἰ δέ τι πλαύσειε, τότ' ἀκριβῶς αὐτῶ πάντ' ἐξεταισθήσε). δοκεῖ δ' ἔμοιγε, ὦ ἄνδρες Ἀθηναῖοι, δεῖξαι οὐκ εἰς μακρὰν, ἂν οἵτε

## ΣΧΟΛΙΑ.

ἐνομίζετο παρὰ Ἀθηναίοις, ἐλευθέρους τύπτειν· εἰ δὲ διὰ τῶν φλυγῶν ἠλέγχθη ὁ τραγικὸς καὶ ὁ τραγῳδὸς ψευδόμενος, ὡς δῆλοι λοιπὸν καὶ αὐτοὶ κακῶς ἔπασχον.

μίμους γελοίους] 1 Ἀναγκαῖον τὸ τ' προσθήκης· οὐ πᾶσα γὰρ μίμησις γελοία τυγχάνει, ἀλλ' ἔστι καὶ σπουδαία· ἡ γὰρ Τραγῳδία, μίμησίς ἐστιν ἠθῶν καὶ παθῶν· καὶ ἡ Κωμῳδία μίμησις· καὶ οἱ μῖμοι 2 σώφρονες· καὶ αἰσχρῶν ἀσμάτων προσίθεντι· εἰσὶ γὰρ καὶ ἀγαθῶν ἀσμάτων ποιηταί.

Καί τοι ταῦτα, εἰ καὶ μικρὰ] Ἰνα μή τις εἴπη, καὶ τί ταῦτα αὐτοῦ λυμαίνεται τὴν δύναμιν, ἔφαγεν ὅτι δεῖγμά ἐστιν αὐτῆς τῆς κακοδαιμονίας, ὡς ὅτι ἔχει μηδὲ

1 Ἀναγκαίως. 2 σώφρονες.

ὅλως τὸν θεὸν· εἰκὸς γὰρ τὸν μίμους καὶ εἰς τὰς κρεῖττονας ἀποσκώπτειν.

ἀλλ' οἶμαι, νῦν μὲν ἀπιστοῦσι] Ἀλλάττειν αὐτῷ, καὶ πῶς ἂν 3 αὐτὸς ἀλίσκει, καὶ σώζῃ τὴν δύναμιν, εἰ κακοδαίμων ἐστὶν, ἐφάγη, ὅτι τέως νῦν αὐτυχεῖ· ἴσαν δὲ περιπίπτη τινὶ ἀτυχίᾳ. εὐθέως ταῦτα φάλα ἁλίγχεται· εἶτα, ἵνα μὴ πάλιν φοβῶσιν αὐτυχῆ λέγων, εὐθὺς ἐφάγη, οὐκ εἰς μακρὰν αὐτυχήσει, ἂν ὑμεῖς βούλησθε· ὥστε εἰ δεῖ τἀληθὲς εἰπεῖν, χορηγία τῆς ἐκείνου εὐτυχίας, ἡ ὑμετέρα ῥᾳθυμία γένηται.

ἐξελασθήσεται] Ἐλεγχθήσεται.

δείξειν] Ἐλέγχον δώσειν.

ἂν οἵτε θεοὶ θέλωσι] Χρῆζων

3 αὐτῷ.

γὰρ

οἵτε θεοὶ θέλωσι, καὶ ὑμεῖς βέλησθε. Ὥσπερ γὰρ ἐν τοῖς σώμασιν ἡμῖν, ἕως μὲν ἂν ἐῤῥωμένῳ ᾖ τις, οὐδὲν ἐπαισθάνεται τῶν καθ' ἕκαστα σαθρῶν· ἐπὰν δὲ ἀῤῥώστημά τι συμβῇ, πάντα κινεῖται, κἂν ῥῆγμα, κἂν στρέμμα, κἂν ἄλλό τι τῶν ὑπαρχόντων σαθρὸν ᾖ· οὕτω καὶ τῶν πόλεων, καὶ τῶν τυράννων, ἕως μὲν ἂν ἔξω πολεμῶσιν, ἀφανῆ τὰ κακὰ τοῖς πολλοῖς ἐστιν· ἐπειδὰν δὲ ὅμορον πόλεμον συμπλακῇ, πάντα ἐποίησεν ἔκδηλα.

ἡ. Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι,

ΣΧΟΛΙΑ.

γὰρ αἱ ῥᾳδίοις, καὶ εὐτυχίαις, καὶ κατορθωμάτων ἀνδρῶν.

κἂν ῥῆγμα, κἂν στρέμμα ] Ῥῆγμα μὲν οἱ ἰατροί φασιν ἀγγείου τινὸς ῥῆξιν, οἷον φλεβὸς, ἢ ἀρτηρίας· στρέμμα δὲ, ἄρθρου παράστασιν ἢ ῥῆγμα μὲν, νεύρου διάστασιν· στρέμμα δὲ, ὀστέου μιλάστασιν.

καὶ τῶν πόλεων] Λείπει ἡ περὶ προθέσις, ἵνα ᾖ, οὕτω καὶ περὶ τῶν πόλεων καὶ τῶν τυράννων.

Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες] Ἀνακεφαλαιοῦται τὸ σχῆμα· πληρώσας τὰ πρότερα μέρη τῆ δυνατῆ, μιλάσσεσθαι ἐπὶ τρίτον ἐπὶ τύχης· ἔστι γὰρ ἡ μὲν πρώτη καθολικὴ [1] ἀντίθεσις τὸ Φοβερὸς Φίλιππος· καὶ ἔδειξεν ὅτι ὁ Φοβερὸς, ἐξ ἀδικίας νεύημένος· ἡ δὲ διαιρετικὴ μερική, ὅτι βία καθέξει τὰ πράγματα· καὶ ἔδειξεν ὅτι ὁ καθέξει, μισθίων αὐτὸν καὶ τῶν ὑπηκόων καὶ συμμάχων καὶ ξένων, ἄλλως τε καὶ αὐτὸς ὢν μισθωτὴς, καὶ ἀσελγής· ἡ δὲ τρίτη καὶ τελευταία, ἀλλ' εὐτυχὴς ὁ Φίλιππος, ὥστε κἂν μὴ σφόδρα ἴχη

[1] Deest ἀπόθεσις.

ἐκεῖνος

βαῖοι, τὸν Φίλιππον δυτυχῆντα ὁρῶν, ταύτῃ φοβερὸν πεφατολεμῆσαι νομίζει, σώφρονος μὲν ἀνθρώπου λογισμῷ χρῆται· μεγάλη γὰρ ῥοπὴ, μᾶλλον δ' ὅλον ἡ τύχη πάντ' ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα· ὑμῖν δ' ἄλλ' ἔγωγε, εἴ τις αἵρεσιν μοι δοίη, τὴν τ' ἡμετέρας πόλεως τύχην ἂν ἑλοίμην, ἐθελόντων ἃ πρόσηκει ποιεῖν ὑμῶν αὐτῶν καὶ κατὰ μικρὸν, ἢ τὴν ἐκείνου· πολὺ γὰρ πλείους ἀφορμὰς εἰς τὸ τὴν παρὰ τῶν θεῶν εὔνοιαν ἔχειν ὁρῶ ἡμῖν ἐνοῦσας, ἢ ἐκείνῳ· ἀλλ' οἶμαι

## ΣΧΟΛΙΑ.

εὔνους τοὺς συναγωνιζομένους, κατορθοῖ διὰ τὴν τύχην· ὥστε εἶναι τὰς δύο τὰς τελευταίας, μέρη τῆ πρώτης καθολικῆς.

σώφρονος μὲν ἀνθρώπου] Εμήκυνε τὴν ἀντίθησιν, καὶ τὸν προσπομίσασθαι αὐτὴν ἐπήνησε. Τίς δὲ ἡ πρόφασις; Εἴωθεν ὁ Δημοσθένης, ἔνθα ἂν ἀποροῦ λύσεως πρὸς ἀνθίθεσιν, μὴ ψιλὴν αὐτὴν τιθέναι, ἀλλὰ κατ' ὀλίγον παλαίουσαν ἕως ἂν λάθη τοιοῦτόν τι προσθεὶς, ἐξ οὗ λῆψεται τὴν ἀφορμὴν τῆς λύσεως. ὃ δὴ καὶ ἐνταῦθα πεποίκεν· ἦν γὰρ ἡ μὲν ἀνθίθεσις, εὐτυχὴς ὁ Φίλιππος· οὐκ ἔχων δὲ λύσαι ταύτην, καὶ ὀλίγον παλαίσων ἀπὸ τῆς Φιλίππου τύχης αὐτῆς ἐπὶ τὴν κοινὴν τῶν ἀνθρώπων μεθίστησιν.

ἡ τύχη] Τὸ σχῆμα τῆ τόπῳ ἐπιμβολὴ ἐξ ὀνόματος, ὅταν ἀπὸ λέξεώς τινος ἐμβαλλομένης τὸ ἐπιχείρημα τίκτεται.

σοφὰ παῖ] Αἰὶ τῆ παίδων τῶν ἀνθρωπίνων πραγμάτων τὴν ἐξουσίαν ἔχη.

πολὺ γὰρ πλείους] Ωσπερ ἀπὸ Παλαιωικῆς ὁρμώμενος διαιρεθῆς, ἐνταῦθα φιλοσοφεῖ, λέγων ταῖς ἀρεταῖς καὶ τὰ τῆς τύχης ἀκολουθεῖν.

οἶμαι καθήμεθα, οὐδὲν ποιοῦντες. Οὐκ ἔνι δ' αὖ τὸν ἀργοῦντα, οὐδὲ τοῖς φίλοις ἐπιτάττειν ὥσπερ αὐτὸ τι ποιεῖν, μήτιγε δὴ τοῖς θεοῖς. Οὐ δὴ θαυμαστόν ἐστιν εἰ τροπιτθυμοῦμεν ἢ πονεῖν ἐλεῖν αὐτὸς, μηδὲ παρεῖναι ἐφ' ἅπασι, καὶ μηδένα καιρὸν μηδ' ὥραν ἀφαλείπειν, ἡμῶν μελλόντων, καὶ ψηφιζομένων, καὶ πυνθανομένων. ἀφιγμένης. Οὐ δὴ θαυμάζω τοῦτο ἐγώ· τἀναντίον γὰρ ἂν ἐμοὶ θαυμαστὸν, εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὦν τοῖς πολεμοῦσι πρόσκειμαι, τὰ πάντα ποιοῦντι ἀ δεῖ προσήκει. Ἀλλ' ἐλεῖνο θαυμάζω εἰ Ἀμφιθαλμονίοις μὲν πόλεμος, ὦ ἄνδρες Ἀθηναῖοι,

ΣΧΟΛΙΑ.

Οὐκ ἔνι δ' αὖ τὸν ἀργοῦντα,] Ἐπιχείρημα ἀπὸ τοῦ ἠθικοῦ· ἐπὶ ἐστὶν ἡ ἐξήγησις· ἡ γὰρ καθολικὴ ἐστὶν, οὐκ ὑπάτει δ' αὖ, ἐπὶ ἡ τὸ αὖ σύνδεσμος, ἀλλὰ τὰ δὲ, ἐπεκτείνει ἀργοῦντα καθολικῶς· ἡ ὡς ἐν ἐπιτάττειν τὸν ἄθροισμον ἀντὶ μεριστικοῦ, ὅ ἐστι δημοσίους τινὰς ἀντὶ ἐργασίας λαμβανομένου.

εἰ μηδὲν ποιοῦντες] Γράφ. εἰ μηδὲν φιλίππιζε ἡμεῖς ἂν πρόσκεινται τοὺς πολεμοῦσιν, ἡμμένοι ἐλίος τοῦ ἀταρμφάτου.

ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων] Τὸν πόλεμον λέγει τὸν ὑπὲρ τῶν Θηβαίων, ὅτι Λακεδαιμόνιοι τὴν Καδμείαν παίλαβον· ἐν γὰρ τῷ Πελοποννησιακῷ πολέμῳ ὑφ' ἡμῶν ἡττηθεὶς οἱ Λακεδαιμόνιοι τοὺς Ἕλληνας ἀδικουμένους ὑπὸ τῶν Ἀθηναίων, ὑπέσχοντο αὐτοῖς ἐλευθερίαν, εἰ μιλαττεῖεν πρὸς αὐτούς· καὶ τούτῳ τῷ λόγῳ, ἐξαπατήσαντες αὐτοὺς ἀπεστήσαν· ὡς οὖν καταδυσάμενοι τὸν

θηναῖοι, ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων εἰστήκατε, καὶ πολλὰ ἰδίᾳ πλεονεκτῆσαι πολλάκις ὑμῖν ἔξὸν, οὐκ ἠθελήσατε· ἀλλ' ἵνα οἱ ἄλλοι τύχωσι τῶν δικαίων, τὰ ὑμέτερα αὐτῶν ἀπολίσκετε εἰσφέροντες, καὶ περικινδυνεύετε σφαλησόμενοι· ὑμεῖς δ' ἀκμάζετε δύνασθαι, καὶ μέλλετε εἰσφέρειν ὑπὲρ τῶν ὑμετέρων αὐτῶν κτημάτων· καὶ τοὺς μὲν ἄλλους σεσῶκατε πολλάκις πάντας, καὶ καθ' ἕνα αὐτῶν ἕκαστον ἐν μέρει· τὰ δ' ὑμέτερα αὐτῶν ἀπολωλεκότες καθήσθε· ταῦτα θαυμάζω· καὶ ἔτι πρὸς τούτοις, εἰ μηδὲ εἷς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, διανοεῖται λογί-

## ΣΧΟΛΙΑ.

τὸν πόλεμον, ὕστερον καὶ αὐτοὶ χειρώσης ἡμᾶς τοὺς Ἕλληνας, ἀγωνιεῖσθε ὑπὲρ τούτων οἱ Ἀθηναῖοι, ἐξέπεσαν ὑπὲρ τῶν ἀδικουμένων πόλεμον πρὸς Λακεδαιμονίους καὶ ἐκ τούτου ἐκλήθη ὁ πόλεμος, ὁ ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων.

καὶ πολλὰ ἰδίᾳ] Ἵνα λαμβάνοντες χρήματα παρὰ Λακεδαιμονίων, συγχωρήσωσιν αὐτοῖς ἀδικεῖν ἀδικοῦντας τοὺς Ἕλληνας.

περικινδυνεύετε] Οὕτως πρὸ αὐτῶν καὶ ὑπὲρ αὐτῶν τῶν Ἑλλήνων ἐκινδυνεύετε.

καὶ καθ' ἕνα αὐτῶν ἕκαστον] Οὐ λέγει κατὰ ἕνα ἕκαστον ἄνδρα, ἀλλὰ κατὰ ἔθνη καὶ πόλεις. Ἐπομνημόνευε δ' αὐτοὺς τὰ χρόνια, ὡς δὴ καὶ τότε λήθην ποιοῦσιν διὰ τὴν πολλὴν ῥᾳθυμίαν.

καὶ ἔτι πρὸς τούτοις,] Ἐν τῷ καὶ ἔτι πρὸς τούτοις, πολὺ ποιεῖ τὸ θαυμάζω.

λογίσασθε, πόσον πολεμεῖτε χρόνον Φιλίππῳ, καὶ τί ποιούντων ὑμῶν, ὁ χρόνος ἅπας διελήλυθεν· ὥστε ἴσως δήπου τοῦθ', ὅτι μελλόντων ὑμῶν, ἑτέρους τινὰς ἐλπιζόντων πρᾶξειν, αἰτιωμένων ἀλλήλους, χρονίζων, πάλιν ἐλπιζόντων, χρεὼν ταῦτα ἅπερ νυνὶ ποιούντων, ὁ χρόνος ἅπας διελήλυθεν. Εἶθ' ὅτως ἀνωμοίως ἔχεις, ὦ ἄνδρες Ἀθηναῖοι, ὥστε δι' ὧν ἐν χρησῶν φαῦλα τὰ πράγματα τῆς πόλεως γέγονε, διὰ τῶν αὐτῶν τούτων ἐλπίζετε πράξεων, ἐν φαύλων αὐτὰ χρησὰ γνήσεσθαι; ἀλλ' ὅτ' οὐ λογον,

## ΣΧΟΛΙΑ.

ἑτέρους τινὰς] Οἷον τοὺς ξένους καὶ Χάρητα καὶ Χαρίδημον.

αἰτιωμένων ἀλλήλους] Τοῦτο εἰς Χάρητα· ἵνα δὲ μὴ δοκῇ ἀπολογεῖσθαι ὑπὲρ τοῦ Χαρίδημου, τῷ κοινῷ καλύπτει τὴν ὑποψίαν· μᾶλλον γὰρ τοὺς γραίνους, εἰς κρίσιν καθιζάσι.

πάλιν ἐλπιζόντων,] Οἱ γραῖνοι κριτόμενοι, ἀποφυγεῖν βουλόμενοι πάλιν αὐτοῖς ἐπαγγέλλονται τάδε καὶ τάδε τὰς νήσους αὐτοῖς προσκτήσασθαι, καὶ τάδε [1] καὶ τάδε καλορθώσειν.

ἀνωμοίως ἔχεις,] Ἀνοήτως· Ἀνωμόνας λέγει τοὺς ἀνοήτους, παρὰ στέρησιν τῆς γνώμης, ἐχ ὥσπερ οὖν ἀγνώμονας καλοῦμεν τοὺς μὴ ἀποδιδόντας τὰ χρέα ἤγουν τὰς ἀμοιβάς.

δι' ὧν] Διὰ τῆς ῥᾳθυμίας.

Νυνὶ δὲ ὅ,τι μὲν φυλάξομεν,] Ἀπίστως ἔλυσεν, ὅτι ξενικοῖς χρησόμεθα τοῖς γραῖνοπέδοις. Ὁ δὲ, τί φησιν; Εἰ μὲν εἴχομεν

[1] Desunt καὶ τάδε.

τι

γον, ὅτ' ἔχον ἐσὶ φύσιν τῦτό γε· πολὺ γὰ ῥᾷον ἔχοντας φυλάτ]ειν, ἢ κλήσασθ] πάντα πέφυκε. Νυνὶ δὲ ὅ,τι μὴ φυλάξομεν, οὐδὲν ἐσιν ὑπὸ τοῦ πολέμ λοιπὸν τῶν πρότερον· κλήσασθ] δὲ δεῖ. Αὐτῶν ἔν ὑμῶν ἔργον τῦτο ἤδη.

ϑ'. Φημὶ δὴ δεῖν εἰσφέρειν χρήματα, αὐτὸς ἀξιέναι προθυμως, μηδένα αἰτιᾶσθ] περὶ δὲ τῶν πραγμάτων κρατήσ]ε· τιμωκαῦτα ἢ ἀπ' αὐτῶν τῶν ἔργων κρίνασθ]ε, τὸς μὲ ἀξίως ἐπαίνε τιμᾶν, τὸς δὲ ἀδικοῦντας κολάζειν· τὰς προφάσεις δ' ἀφελεῖν, καὶ τὰ καθ' ὑμᾶς

## ΣΧΟΛΙΑ.

τι φυλάξαι, καλῶς τοὺς ξένους ἐπέμψομεν· ἐπὶ τῦτο γὰρ ἀπέσταλλαν σοὺς ξένους· εἰ δὲ κλήσασθαι δεῖ, προδηλον ὅτι τὸν δῆμον εἶναι δεῖ τὸν σφαλευόμενον.

Φημὶ δὴ δεῖν] Τὸ συμφέρον περιφέρεται. Εἰωθεν δὲ ἐπὶ τοὺς ἐπιλόγους μεταλαμβάνειν, ἐν σχήματι ἀνακεφαλαιώσεως τὴν εἰσβολὴν ποιησάμενον· Ι τινὲς δέ φασιν, ἵνα ἂν πληρώσαιτο τὸ δυναλὸν ἐπὶ τὸ συμφέρον μεταλέγχεσθαι.

τὰς προφάσεις] Οἱ γὰρ σφαλέντες προφάσεις ἐποιοῦντο τ' ἀπολογίας τὸ μὴ λαμβάνειν χρήματα, ἀλλὰ μὴ αὐτὰ καλεῖ τὰ χρήματα· ὀλίγα γάρ φησιν εἰς μισθὸν διδόντες τοῖς τραπιώταις, τὰ ὑπόλοιπα τῦ πλήθ]ς μισθῦ εἰς θεωρικὸν καλέχειν.

Ι τινὲς.

μᾶς ἐλλείμματα· ὑ γάρ ἐστι πικρῶς ἐξετάσαι τί πέπρακται τοις ἄλλοις, ἂν μὴ παρ' ὑμῶν αὐτῶν πρῶτον ὑπάρξῃ τὰ δέοντα. Τίνος γὰρ ἕνεκα; ὦ ἄνδρες Ἀθηναῖοι, νομίζετε, τοῦτον μὲν φεύγειν τὸν πόλεμον πάντας ὅσους ἂν ἐκπέμψητε στρατηγούς, ἰδίους δ' εὑρίσκειν πολέμους; εἰ δεῖ τι τῶν ὄντων καὶ περὶ τῶν στρατηγῶν εἰπεῖν· ὅτι ἐπαινῶ μὲν ἐστι τὰ ἆθλα ὑπὲρ ὧν ἐστιν ὁ πόλεμος, ὑμέτερα· Ἀμφίπολις κἂν ληφθῇ, πᾶσα χρῆμα αὐτὴν ὑμεῖς νομιεῖτε· οἱ δὲ κίνδυνοι, τῶν ἐφεστηκότων ἴδιοι· μισθὸς

δ²

ΣΧΟΛΙΑ.

ἐλλείμματα.] Τὰ ὑστερήματα.

ὑ γάρ ἐστι πικρῶς] Ἀντὶ τοῦ δικαίως· πικρὸν γὰρ τοῖς ἀδικοῦσι τὸ δίκαιον προσφαίνεται.

ἰδίους δ' εὑρίσκειν] Ἰδίους λέγει, ὡς αὐτοὶ ἴδιοι ποιοῦνται ἐκτὸς τῆς πόλεως· αἰνίττεται δὲ ἴσως εἰς Κάρητα.

ὅταν δὲ δόξῃς λόγον] Ὅτι χρήματα μὲν καταλήψεται ὑ δίκαια ὑπὲρ τῆς πόλεως πολεμεῖν· ἥκουν κ' ἐπαῖνον περὶ τῶν στρατηγῶν.

Περίστ.] Ἐκ περιουσίας ἴστέ.

διεστάναι,] Διακεχωρίσθαι κ' διῳκοδομῆν.

Πρότερον μὲν γάρ,] Δίκα ἐσᾶν φυλῶν παρὰ τοῖς Ἀθηναίοις, κ' εἰς δέκα ὥσπερ μεμερισμένης τῆς πόλεως, ἀνάγκην εἶχεν ὥσπερ ἑκάστη φυλὴ ἀπὸ πάσης προσκαλλεσθαι τοὺς πλουσιωτέρους αὐτῆς, ἑκατὸν εἴκοσι ἄνδρας τοὺς λειτουργοῦντας ὑπὲρ αὐτῆς Ι τῇ πόλει· εἶτα οἱ ἑκατὸν εἴκοσι ὅτου ἐμέριζον ἑαυτοὺς εἰς δύο μερίδας, ἵνα ἐξήκοντα αὐτῶν ἄνδρες ἴσοντα οἱ πάνυ πλούσιοι· οἱ δὲ ἄλλοι ἐξ-

Ι τῆς πόλεως.

ἥκοντα,

δ' ὧδε ἔστιν· ἐκεῖ μὲν, κίνδυνοι μὲν ἐλάττους, τὰ δὲ λήμματα τῶν ἐφεστηκότων καὶ τῶν στρατιωτῶν, Δάμψακος, Σίγειον, τὰ πλοῖα ἃ συλῶσιν· ἀφ' ὧν τὸ λυσιτελοῦν αὐτοῖς ἕκαστοι χωροῦσιν· ὑμεῖς δὲ, ὅταν μὲν εἰς τὰ πράγματα ἀποβλέψητε φαύλως ἔχοντα, τοὺς ἐφεστηκότας κελεύετε· ὅταν δὲ δόντες λόγον τὰς ἀναίτιας ἀκούσητε, τούτους ἀφίετε. Περίεστι τοίνυν ὑμῖν ἀλλήλοις ἐρίζειν, καὶ διεξάναι, τοῖς μὲν ταῦτα πεπεισμένοις, τοῖς δὲ ταῦτα· τὰ κοινὰ δὲ ἔχειν φαύλως. Πρότερον μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, εἰσε-

## ΣΧΟΛΙΑ.

ήκοντα, ἧττον πλούσιοι· ἵνα μὴ ἐξαίφνης πόλεμον αὐτοὺς ἐπιλίπῃ, καὶ τύχῃ πρὸς τὸ παρὸν μὴ ἔχοντι χρήματα τοὺς ἧττον πλουσίους· εἰσέφερον γὰρ οἱ πλουσιώτεροι ὑπὲρ αὐτῶν, καὶ προτέλειαν, καὶ ἐδίκαζόν ταῦτα ὕστερον παλὼ σχολῇ· ἐλέγετο δὲ τὸ σύστημα αὐτῶν τῶν ἐξάκοντα, Συμμορία οἱονεὶ παρὰ τὸ μέρος εἶναι τὰς φυλάς· δίκα δὲ οὐσῶν φυλῶν καὶ ἑκάστης παραβαλλομένης ἀπὸ ἑκατὸν εἴκοσι, συνέβη τοὺς πάντας εἶναι λειτουργοὺς, χιλίους διακοσίους· ἐμέριζον οὖν αὐτοὺς ἀπὸ ἐξακοσίων ἀνδρῶν, ὅ ἐστιν ἀπὸ δέκα συμμοριῶν· πάλιν δὲ ἐκαλέεσαν· τῶν δύο μερίδων τούτων, ἕτεμνον εἰς δύο, ὅ ἐστιν, εἰς τριακοσίους μὲν ἄνδρας, καὶ πάντε μὲν συμμορίας· οὗτοι δὲ ἦσαν οἱ τριακόσιοι οἱ πάνυ πλούσιοι οἱ πρῶτοι οἱ τινες προεισέφερον τῶν ἄλλον τι καὶ εἶχον αὐτοὺς ὑπακούειν εἰς πάντα, ὃς συμβαίνει εἰς δύο μερίδας εἶναι τοὺς πάντας· εἶγε οἱ τῶν ἑκατέρωθεν ὦσαν ὥσπερ ἡνωμένοι τοῖς ἐκαλέσθησαν τριακοσίοις τοῖς πλου-

σιω-

1 Deest γὰρ.

εἰσφέρειν κ᾽ συμμορίας· νυνὶ δ᾽ πολιτεύεσθε κ᾽ συμμορίας· ῥήτωρ ἡγεμὼν ἑκάτερον, καὶ στρατηγὸς ὑπὸ τούτῳ, καὶ οἱ βοηθησόμενοι οἱ τριακόσιοι· οἱ δ᾽ ἄλλοι παρεσκευάσθε. οἱ μὲν ὡς τοῦτους, οἱ δὲ ὡς ἐκείνους. Δεῖ δὴ ταῦτα ἐπιδόντας, κ᾽ ὑμῖν αὐτῶν ἔτι κ᾽ νῦν γιγνομένους, κοινὸν καὶ τὸ λέγειν, κ᾽ τὸ βουλεύεσθ᾽, καὶ τὸ πράττειν ποιῆσαι. εἰ δ᾽, τοῖς μὲν ὥσπερ ἐν τυραννίδι [1] ὑμῖν ἐπιτάττειν ἀπόδωσθε· τοῖς δ᾽ ἀναγκάζεσθ᾽ τειχομαχεῖν, εἰσφέρειν, στρατεύεσθαι· τοῖς δ᾽, ψηφίζεσθ᾽ κ᾽ τούτων μόνον, ἄλλο δ᾽ μηδὲν τιῶν συμπονεῖν, οὐχὶ χρήσε᾽ τῶν δεόντων ὑμῖν

1 ὑμῶν.

## ΣΧΟΛΙΑ.

στωλέρεις· εἶχε δὲ ἑκάστη μερὶς τῶν τεσσάρων ἴδιον στρατηγὸν κ᾽ ἴδιον ῥήτορα· ὅμως δὲ πάλιν τῶν δευτέρων κ᾽ οἱ ῥήτορες καὶ οἱ στρατηγοὶ ὑπεῖκον ταῖς πρεσβείραις· τότε δή, φησὶν, ἐμέριζον ἑαυτοὺς, διὰ πλείονα σπουδὴν τῶ εὐκαίρως εἰσφέρεσθαι τὰ χρήματα 1 κατὰ συμμορίας· νῦν δὲ δι᾽ ὀδὸν ἄλλο 2 μερίζεσθε εἰς συμμορίας, ἢ διὰ τὸ σελιδεύεσθαι, ὅ ἐστι διὰ τὸ σασιάζειν· μέμφεται δὲ αὐτοὺς ὅτι πρώην, ἡνίκα διὰ τὸ εἰσφέρειν ἐποιοῦντο τὰς συμμορίας, καὶ καιρὸς ἦν πραγμάτων, ἡγεμόνας ᾔδεσαν τοὺς πλουσιωτέρους· δευτέρους δὲ, τοὺς στρατηγούς, τοὺς κολοφωνίας· τρίτους δὲ, τοὺς ῥήτορας, τοὺς μόνον λέγοντας· νῦν δὲ ἐτοιμότερος καιρός ἐστι τῷ 3 ἐκκλησιάζειν κ᾽ τῶ λέγειν, ἡγεμόνες εἰσὶν οὐχ οἱ πλούσιοι, ἀλλ᾽ οἱ ῥήτορες· κ᾽ βοηθησόμενοι εἰσὶν οἱ πρῶτοι τριακόσιοι, ἐπαινοῦντες τὰ ὑπὸ τῶν

1 Deest καὶ. 2 μερίζεσθαι. 3 σασιάζειν.

ἰδιώτ

ὑμῖν ὀδὲν ἐν καιρῷ· τὸ γὰρ ἠδικημένον ἀεὶ μέρος ἐλλείψει· εἶτα ὑμῖν τότε κολάζειν ἀντὶ τῶν ἐχθρῶν ῥᾴδιόν ἐστι.

ί. Λέγω δὴ κεφάλαιον, πάντας εἰσφέρειν ἀφ' ὧν ἕκαστος ἔχει, τὸ ἴσον· πάντας ἰέναι κατὰ μέρος, ἕως ἂν ἅπαντες εὐδαιμονήσητε· πᾶσι τοῖς παροῦσι λόγον διδόναι, καὶ τὰ βέλτιστα ὧν ἂν ἀκούσητε, αἱρεῖσθαι, μὴ ἃ ἂν ὁ δεῖνα, ἢ ὁ δεῖνα, εἴπῃ· κἂν ταῦτα ποιῆτε, οὐ τὸν εἰπόντα μόνον ὠφελήσετε, ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὕστερον, πολλῷ βέλτιον τῶν ὅλων πραγμάτων ἡμῖν ἐχόντων.

## ΣΧΟΛΙΑ.

ἰδίων ῥητόρων λεγόμενα· οἱ δὲ ἄλλοι προσπεπεμμένοι ἐκαλέσαντο.

ῥήτωρ ἡγεμὼν] Δεῖ μὴ χωρίζειν τὸ ῥήτωρ ἡγεμών, ἀλλὰ συνάπτειν.

ὡς τότε] Εἰς τότε.

Δεῖ δὴ ταῦτα ἐπαινέσαι] Συμπέρασμα τῆς συμφέροντος, ὅθεν ἄρχονται καὶ οἱ ἐπίλογοι.

εἰ δὲ, τοῖς μὲν] Πρὸς Εὔβουλον ἀπολείπεσθαι τὸν πολιτευόμενον.

τοῖς δὲ ἀναλαβέσθαι] Ἐπειδὴ εἶπεν ἀνωτέρω, φημὶ δὴ δεῖν χρημάτων, ἵνα μὴ εἴπωσιν οἱ πένητες, οὐκοῦν εἰσοίσουσιν οἱ πλούσιοι, προλαβὼν ὑπὸ αὐτῶν ποιεῖται τὸν λόγον, ὅτι μέχρι πότε οἱ πλούσιοι τριηραρχήσουσι καὶ εἰσοίσουσι καὶ πάντα δαπανήσουσιν; ἐὰν γὰρ αὐτοὺς παρακόψῃ ἀπὸ τῶν πλουσίων, ἐλπίδα μηδεμίαν ἔχοντες. ἢ ἄλλην εὐπορίαν, ἀποχήσονται τῶν θεωρικῶν· καὶ ὅλως σύνηθες τῷ Δημοσθένει τοῖς πλουσίοις συνίστασθαι· γινώσκει γὰρ ὅτι τὰ νεῦρα τῆς πόλεώς εἰσιν οἱ πλούσιοι.

Λέγω δὴ κεφάλαιον,] Ἐπίλογος· διὰ δὲ τοῦτο ἐδεήθη δευτέρας ἀνακεφαλαιώσεως, εἰπὼν, ὅτι χρὴ πάντας εἰσφέρειν, ἵνα τῆς ἀνάγκης ταύτης περιστάσης, ἐκτήσωνται τὰ θεωρικά.

ΤΥΠΟ-

# ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΟΛΥΝΘΙΑΚΟΥ Τείτου.

ΕΠΕΜΨΑΝ βοήθειαν τοῖς Ολυνθίοις οἱ Αθηναῖοι· καί τι καλορθῶν ἔδοξαν δι' αὐτῆς· καὶ ταῦτα αὐτοῖς ἀπήγγελλέ· ὁ δὲ δῆμος περιχαρὴς, οἵ τε ῥήτορες παρακαλοῦντες ἐπὶ τιμορίαν Φιλίππου. Ο δὲ Δημοσθένης δεδοικὼς μὴ θαρσήσαντες ὡς τὰ πάντα νενικηκότες, καὶ ἱκανὴν βοήθειαν πεποιημένοι τοῖς Ολυνθίοις, τῶν λοιπῶν ὀλιγωρήσωσι, διὰ τοῦτο παρελθὼν, ἐπισκώπτει τὴν ἀλαζονείαν αὐτῶν· καὶ πρὸς εὐλάβειαν σώφρονα, τὴν γνώμην μεθίστησι, λέγων ὡ περὶ μὲν Φιλίππου τιμωρίας νῦν αὐτοῖς εἶναι τὸν λόγον, ἀλλὰ περὶ τῶν ζυμμάχων σωτηρίας· οἶδε γὰρ ὅτι καὶ Αθηναῖοι, καὶ ἄλλοι τινὲς, τὰ μὲν μὴ τὰ οἰκεῖα προεῖδον, ποιοῦνται φροντίδα· περὶ δὲ τὰ τιμωρήσασθαι τὸν ἐναντίον ἅπαν σπεύδουσιν. Ἐν δὲ τούτῳ τῷ λόγῳ καὶ τὰ περὶ τῶν θεωρικῶν χρημάτων συμβουλὴν φανερώτερον ἀπέδοσαν, καὶ ἀξιοῦν λυθῆναι τὸν νόμον, τὸν ἐπιτιθέντας ζημίαν τοῖς γράψασιν αὐτὰ γενέσθαι στρατιωτικὰ, ἵνα δειχθῇ τὸ ζυμβουλεύειν τὰ βέλτιστα· παραινεῖ δὲ καὶ ὅλως περὶ τὸν τῶν προγόνων ζῆλον ἀναζῆσαι καὶ στρατεύεσθαι σώμασιν οἰκείοις· καὶ ἐπιμέμφεται πολλὰ κέκρηται μὲν τῷ δήμῳ τῶν ἐκκλησιῶν, καὶ τῶν δημαγωγῶν, ὡς οὐκ ὀρθῶς προϊσαμένων τὴν πόλιν.



ΔΗΜΟ-

Digitized by Google

# ΔΗΜΟΣΘΕΝΟΥΣ

## ΟΛΥΝΘΙΑΚΟΣ Β.

ά. ΟΥΧΙ ταὐτὰ παρίσαλαί μοι γιγνώσκειν, ὦ ἄνδρες Αθηναῖοι, ὅταν τε εἰς τὰ πράγματα ἀποβλέψω, καὶ

1 ΤΡΙΤΟΣ.

### ΟΛΥΝΘΙΑΚΟΥ 2Β. ΣΧΟΛΙΑ.

ΟΥΧΙ ταὐτὰ παρίσαλαί μοι] Ὡς τῶν πραγμάτων χαλεπῶν ὄντων ἐξ ἀπιθμήσεως εἰληφέναι τὸ πρεσβύμιον· ὅτι πρόσοχὴν διὰ τῦ παρελθεῖν ἀπεργάζεται, ἢ ἐπ τῦ παραδόξυ· παράδοξον γὰρ γίνεσθαι, ὅταν τοῖς λόγοις ἡ συνήθεια τὰ πράγματα· ἢ ἀπὸ συγκρίσεως· συγκρίνει γὰρ δίκαιον τοὺς λόγους ἀναπόδειξιν ἔχοντας τοῖς πράγμασι· παθητικὸν δὲ ὁ προοίμιον, καὶ μικτὸν ἀξιώματος· ἐν ᾧ γὰρ ἀπηρμένον τὸν δῆμον καὶ 2 μέγα φρονοῦντα ἐπὶ τῇ νίκῃ συγκλείει καὶ πρὸς φόβον καθίστησι, ἀφ' ἑτέρας πάθους εἰς ἕτερον ἄγει τὸν ἀκροατήν· ἐν ᾧ δὲ ἀλλάττει τὴν γνώμην τῶν Αθηναίων, τὸ τοῦ Περικλέους ἀξίωμα διὰ τῶν ἔργων διώκουσι· καὶ γὰρ ἐκεῖνος ἀθυμοῦντα μὲν τὸν δῆμον ἐπαιρε τῇ ἀναγωγείᾳ, καὶ μικτὸν ἐλπίδων ἀπεφήνατο· θαρροῦντα δὲ, αὖθις εἰς φόβον περιαγαγεῖν· τρεπτὸς δὲ ὁ λόγος· τὸ μὲν γὰρ πρῶτόν ἐστι, τὸ δοκεῖν μάλιστα συνέχειν καὶ παρέχειν ὅλον τὸν λόγον, ἡ σχέσις, καὶ προηγούμενον κίνησιν, εἰ χρὴ μεταστῆναι τὸν δῆμον εἰς Μακεδονίαν, ἢ καλὰ χώραν ἐᾶσθαι μᾶλλον τοῖς Ολυνθίοις βοηθήσουσαν· τὸ δὲ δεύτερον, εἰ χρὴ λῦσαι τοὺς νόμους τοὺς θεωρικούς· τὸ δὲ τρίτον ἐπιλόγικον ὄν, καθαρμὸν ἔχει τῆς πολιτείας τῶν νῦν δημαγωγούντων· τούτων δὲ τῶν μερῶν ἕκαστον ὑποτέθεικεν οἰκείῳ κεφαλαίῳ· τὸ μὲν γὰρ πρότερον τοῦ συμφέροντος εἶναι δοκεῖ· τὸ δὲ δεύτερον τοῦ νομίμου· εὐληπτίας δὲ εἰς καλασκευὴν τῦ δίκαιου· καὶ γὰρ κεφάλαιον κεφαλαίῳ ἀποδείκνυσι· τὸ δὲ τρίτον ἐστὶ τῦ δικαίου, λέγω δὲ τὸ τῆς καθαρομῆς τῶν νῦν πολιτευομένων, καὶ τῆς εὐφημίας τῶν ἐπὶ τῶν προ-

1 Γ. 2 Deest μέγα. 3 Deest ἐπὶ.

γόνων

καὶ ὅταν πρὸς τοὺς λόγους ἐς ἀκόω. Τοὺς μὲν γὰρ λόγους ὡσεὶ ξ τιμωρήσασθ Φίλιππον ὁρῶ γινομένους· τὰ δὲ πράγματα εἰς τοῦτο περήκοντα, ὥστε, ὅπως μὴ πεισώμεθα αὐτοὶ πρότερον κακῶς, σκέψασθ δέον. Οὐδὲν ἂν ἄλλο μοι δοκοῦσιν οἱ τὰ τοιαῦτα λέγοντες, ἢ, τὴν ὑπόθεσιν

ΣΧΟΛΙΑ.

γόνων πολίτευσαμένων· πᾶσα γὰρ συμβουλὴ περὶ τοιούτων προσώπων γινομένη ἔπαινον ἢ ψόγον δηλοῦσα, εἰς τὸ δίκαιον ἔχει τὴν ἀναφοράν· καὶ τὸ μὲν συμφέρον δίκα τίτ- μηται, εἴς τε τὸ ἀναγκαῖον, ἐλεύσεται γὰρ Φίλιππος εἰς τὴν Αττικὴν, διαφθαρέντων τῶν Ολυνθίων· καὶ εἰς τὸ ἄδοξον. πάντες γὰρ ἴσασιν Ελληνες, ὅτι τοῖς Ολυνθίοις ἐπηγγελάμεθα βοηθῆσαι, εἰ πολεμήσειεν πρὸς Φίλιππον· καὶ τὸ ψευδεῖς φανῆναι, τῶν ἀδόξων. Ζητήσῃ δ' ἄν τις τί δήποτε κωλύων μεθίσταται τὴν δύναμιν, ἀδημίαν περιποίηται περὶ αὐτοῦ μνήμην, οὐδὲ φαῦλον δοκοῦν τὸ μείζονα εἰς Μακεδονίαν τοὺς τραλιώτας· ῥᾴδιον δ' ἂν ὅτι πολλοί εἰσι τρόποι καθ' οὓς ἀνθιλέγοιν ἔξεισιν· ἢ γὰρ πρὸς αὐτοὺς τοὺς λογισμοὺς μαχόμεθα τῶν ἀνθιλεγόντων, δεικνύντες αὐτοὺς σαθροὺς ὄντας· ἢ ἑτέραν εἰσηγούμεθα γνώμην, διὰ ἣν ἡμέρας τὴν ἐκείνων ἀναιρήσομεν· ἢ τὸ συμφέρον, τὸ μὲν ἐκείνων ἐλίσχομεν, αὐτοὶ δὲ συμβουλὴν ἑτέραν εἰσηγούμεθα· ἐνταῦθα τοίνυν ὁ ῥήτωρ φροντίμαις χρώμενος, τῆς μὲν ἐκείνων γνώμης οὐδεμίαν ποιεῖται [1] μνήμην· τὴν δὲ [2] αὐτῷ δοκοῦσαν εἰσηγεῖται, καὶ ταύτην ἐργάζεται. Αλλως. Προοίμιον ἐκ τῆς ἀναγκαίας· λαμβάνεται δὲ ἐξ ὑπολήψεως τῶν πραγμάτων φαύλων ὄντων.

‡ ὅταν πρὸς τοὺς λόγους] Τοῦτ' ἔστιν ὅτι δεῖ εἰς Μακεδονίαν μέλλειν βαδίζειν τὴν δύναμιν.

εἰς τοῦτο προήκοντα] Τῆς κακίας δηλονότι· οὐ φήμης δὲ ἐσιόντος· οὐκ εἰπὲν ὕστως ἔχοντα, ἀλλ' εἰς τοῦτο προήκοντα, διὰ τῆς ἐν τῇ λέξει τάσεως, τὸν χρόνον δεικνὺς τὸν αἴτιον τῶν κακῶν.

ὥστε, ὅπως μὴ πεισώμεθα] Μεγάλῳ θάρσει μέγαν φόβον ἀνίθηκε, σφόδρα τεχνικῶς ποιῶν· τὰ

1 γνώμην. 2 αὐτῷ.

γὰρ



Digitized by Google

θεσιν ωδὶ ἧς βουλεύεσθε, ἀχὶ τὴν οὖσαν παρεσκάλες ὑμῖν, ἁμαρτάνειν. Ἐγὼ δ' ὅτι μὴ πότε ἄξιῶ τὴ πόλει, καὶ τὰ αὐτῆς ἔχειν ἀσφαλῶς, καὶ Φίλιππον τιμωρήσασθαι, καὶ μάλα ἀκριβῶς οἶδα· ἐπ' ἐμοῦ γὰ ἀχὶ πάλαι γέγονε ταῦτα ἀμφότερα· νυῦ μέντοι πέπεισμαι τοῦθ' ἱκανὸν

## ΣΧΟΛΙΑ.

γὰρ μεγάλα πάθη, μείζοσι πάθεσι λύειν προσήκει.

Οὐδὲν οὖν ἄλλό μοι δοκοῦσιν] Ὥσπερ αἰνιττόμενος, ἀλλὰ νῦν μὲν οὐκ ἔχω Φιλιππισμὸν αὐτοῖς ὀνειδίζειν· ὑπερβατὸν καθ' ὑπέρθεσιν· τὸ δὲ ἐξῆς οὕτως· εἰδὲν ἂν ἄλλό μοι δοκοῦσιν οἱ τὰ τοιαῦτα λέγοντες ῥήτορες, ἢ ἁμαρτάνειν. εἶτα ἐν τῷ μέσῳ καλασκευάζει. Πῶς, τὴν ὑπόθεσιν ὑμῖν παρεσκάλες καὶ συμβουλεύοντες, περὶ ἧς καὶ ὑμεῖς βουλεύεσθε, (βουλεύονται δὲ νῦν περὶ τοῦ τιμωρήσασθαι Φίλιππον) ἀλλ' ἀχὶ τὴν οὖσαν καὶ ἀληθῆ ὑπόθεσιν· καίτοι κοινῇ τὸ, παρεσκάλες ὑμῖν· ἦτις ἐστὶ τὸ βουλεύσασθαι, ὅπως ἂν σωθῶσι σώσωμεν τοὺς Ὀλυνθίους· ἔστι δὲ ὥσπερ συμπέρασμα τῶν προοιμίων διὰ πλειόνων.

τὴν ὑπόθεσιν] Τὸ τιμωρήσασθαι Φίλιππον· βιαίως δὲ σφόδρα τὸν δῆμον κοινωνὸν τῆς ἐκυτοῦ γνώμης ἐποίησεν, ὑπὲρ ὧν αὐτὸς μέλλει συμβουλεύειν περὶ τούτων εἰσιληλυθέναι φήσας βουλιόμενον τὸν δῆμον.

τὴν οὖσαν] Τὸ σῶσαι τοὺς Ὀλυνθίους.

Ἐγὼ δ' ὅτι μὲν πότε] Ἔτι τὴν αὐτὴν ἔννοιαν ἐξεργάζεται· δηλοῖ δὲ τοὺς καιροὺς ἐν οἷς Ἀμφίπολιν εἶχον δὶ Ποτείδαιον καὶ τὰ ἐπὶ Θράκης.

ἐξῆν τῇ πόλει,] Δύσις τῶν ἀντιπίπτοντων.

τὰ αὐτῆς] Δίον εἶπεῖν, καὶ Ὀλυνθίους σῶσαι.

τιμωρήσασθαι,] Οὐκ ὡς τιμωρησαμένων αὐτῶν τότε τὸν Φίλιππον, ἀλλ' ὡς ἐξουσίαν ἔχόντων εἴτε ἠβουλήθησαν.

ἐπ' ἐμοῦ γὰρ] Ὑπερβατὸν τὸ σχῆμα.

ἱκανὸν] Αὐταρκες· ὡστὶ ἔλεγε, κἂν τοῦτο δυνηθῆτε ποιῆσαι, καλῶς ὑμῖν ἔχει πρὸς τὸν παρόντα δύναμιν.

1 βουλεύεσθε.

σχολα-

Digitized by Google

τὸν προλαβεῖν εἶναι ἡμῖν τὴν πρώτην, ὅπως τοὺς συμμάχους σώσωμεν· ἐὰν γὰρ τοῦτο βεβαίως ὑπάρξῃ, τότε καὶ περὶ τοῦ τίνα τρόπον τιμωρήσεταί τις ἐκεῖνον ἐξέσται σκοπεῖν· πρὶν δὲ τὴν ἀρχὴν ὀρθῶς ὑποθέσθαι, μάταιον ἡγοῦμαι περὶ τῆς τελευτῆς βουλὰς ποιεῖσθαι λόγον.

Β'. Ὁ μὲν οὖν παρὼν καιρὸς, ὦ ἄνδρες Ἀθηναῖοι, εἴπερ πολὺ καὶ νῦν πολλῆς

## ΣΧΟΛΙΑ.

προλαβεῖν] Ὥσπερ ἐπὶ ἁρμάτων εἴποι ἐπαναμίσων διὰ τάχος προαρπάσαι ἆθλον κείμενον ἐν μέσῳ, ἵνα ἆθλον μὲν νοήσωμεν τὴν Ὀλυνθον, 1 ἁρμάτας δὲ Φίλιππον καὶ Ἀθηναίους.

τὴν πρώτην,] Τὴν ἀρχὴν δηλονότι· ἀρχὴν γὰρ καλεῖ τὸ σῶσαι τοὺς Ὀλυνθίους· τέλος δὲ, τὸ τιμωρήσασθαι Φίλιππον.

ἐὰν γὰρ τοῦτο βεβαίως] Τὸ μὲν λέγειν ὡς ἐὰν ἴσωσιν Ὀλυνθίους, ἀναίσχυντον· καθεῖλε δὲ αὐτὸ, φήσας ὅτι ἐὰν βεβαίως· ὥστε ἀναίσκυντον μένειν καὶ οὕτως χώραν τὴν δύναμιν.

καὶ περὶ τοῦ τίνα τρόπον] Καὶ ἐν τῷ τρόπῳ τῆς τιμωρίας ἀμαρτάνουσι τοὺς ῥήτορας· φησὶ γὰρ, τότε ἐξέσται τὸν τρόπον σκοπεῖν, αἰνίττεται δὲ ὅτι καὶὰ θάλατταν ἐπιλυθεῖν χρὴ τῷ Φιλίππῳ, καὶ κλεῖσαι τὰ ἐμπόρια, ὅπερ αὐτὸς ὕστερον ἐν τῷ τελάρῳ συνεβούλευσε.

περὶ δὲ τὴν ἀρχὴν] Ἀκόλουθον τῇ ἐξ ἀρχῆς προθέσει τὰ συμπέρασμα· τότε γὰρ τοὺς ῥήτορας μεμφόμενος ὅτι ἕτερα αὐτῷ ἑτέροις συμβουλεύουσι, νῦν φησὶ μάταιον εἶναι τὸ περὶ τῆς τέλους σκοπεῖν, ἀρχὴν μὲν τὴν τῶν συμμάχων σωτηρίαν, τέλος δὲ τὴν Φιλίππου κάθαιρεσιν εἶναι δικαίαν· τὸ δὲ δὴ συμπέρασμα γνωμικὸν ὄν, σεμνὴν τὴν βάσιν τῷ προοιμίῳ ποιοῦται· δεῖ γὰρ ἐν μὲν ἀρχαῖς τῶν προοιμίων, τὰ γνωμικὰ φυλάττεσθαι· καὶ γὰρ ἄγονον καὶ ἀρχαιότροπον τὸν λόγον δεικνύει. 2 τὸ δὲ ἐπὶ τέλει γνωμικὸν 3 ἐπισφραγίζεται τοῖς ἐν μέρει λογισμοῖς, τῇ καθόλου προσθήκῃ.

1 ἁρμάτα.

2 τῷ.

3 ἐπισφραγίζεσθαι λόγον.



Digitized by Google

λῆς φρονήσεως καὶ βουλῆς δεῖται· ἐγὼ δ', οὐχ ὅτι χρὴ περὶ τῶν παρόντων συμβουλεῦσαι, χαλεπώτατον ἡγοῦμαι, ἀλλ' ὅπερ ἀπορῶ, τίνα χρὴ τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς ὑμᾶς περὶ αὐτῶν εἰπεῖν· πέπεισμαι γὰρ ἐξ ὧν πάρων καὶ ἀκούων σαφῶς οἶδα, τὰ πλείω τῶν πραγμάτων ὑμᾶς ἐκπεφευγέναι, τῷ μὴ βούλεσθαι τὰ δέοντα ποιεῖν, ἢ τῷ μὴ ξυνιέναι.

## ΣΧΟΛΙΑ.

λόγου.] Λόγον ἐνταῦθα τὴν συμβουλὴν καλεῖ.

Ὃ μὲν οὖν παρὼν καιρὸς,] Δεύτερος προοίμιον, ἀκαλλώπιστον δὲ, ἐπὶ τῷ ἀναγκαίῳ· λαμβάνεται δὲ πρὸς ὑποβολὴν τῶν πραγμάτων ἁμαρτόντων ἕνεκα· ἐκθέμενος δὲ ἐν τῷ πρώτῳ προοιμίῳ στρατηγικῶς τὸν ἑαυτοῦ τρόπον, ὅτι δεῖ τοὺς πολιτεύεσθαι μέλλοντας, καὶ τὸ προηγήσασθαι τοῦ λόγου μέρος ἐκεῖνο καλατείνας, ἐν τῷ δευτέρῳ αὖθις τὰ λειπόμενα δύο μέρη ἐπιπλήττει.

ἕτερον ἀπορῶ.] Τὸ δεύτερον μέρος τοῦ τοῦ περὶ τῶν θεωρικῶν ἐπιδείκνυσι· δείκνυσι δὲ ὅτι τὴν λύσιν τῶν κακῶν εἰδὼς, ἐκεῖνα ἀποφήναθαι· τὸ δὲ ἑτέρῳ τίνα τρόπον, πολλὰς ἔχει σημασίας, τοῦτον φανερῶν, ἢ τοιοῦτόν ἐστιν ἀπάτης· τοῦτον μᾶλλον παῤῥησίας, ἢ ὑφαμένης· οὐκ εἰπεῖν δέι, ἀπορῶ τί δεῖ λέγειν, ἀλλὰ πῶς δυνήσομαι τοὺς κολάσεως ἀντὶς πεῖσαι· ἰσέον δὲ ὅτι ἀκαλάσκευόν εἶπε τὸ προοίμιον, ἵνα ὡς ὁμολογούμενον λάθῃ τὸ, ὅτι πολλῆς φρονήσεως δεῖται τὰ πράγματα.

πέπεισμαι γὰρ] Ἐνθένδε, ἐξ ὧν αὐτὸς τε συμβουλεύων, καὶ ἐξ ἄλλων ἑτέρων λέγων· δίδωσι γὰρ καὶ τῶν ἄλλων ῥήτορων ἐνίοις λέγειν τὰ πόλει τὰ χρήσιμα, ἵνα μὴ φανῇ εἰς αὐτὸν ἀναφέρων, φθονικὸς εἶναι δοκῇ.

μὴ συνιέναι.] Σημείωσαι ὅτι διανοίας σύνεσις φρονήσεως, ὅτι ἡ μὲν φρονησις ἕξις ἐστὶ γενικὴ τῶν οἰκοθεν λογισμῶν· ἡ δὲ σύνεσις, ἕξις δεκτικὴ τῶν ἔξωθεν λογισμῶν.

1 κολακείας.

ἀξιῶ

εἶναι. ἀξιῶ δὲ ὑμᾶς, ἂν μὲν παῤῥησίας ποιῶμαι τοὺς λόγους, ὑπομεῖναι, τοῦτο θεωροῦντας· εἰ δ' ἀληθῆ λέγω, καὶ διὰ τοῦτο ἵνα τἀλλοπὰ βελτίω γένησθε· ὁρᾶτε γὰρ ὡς ὀκνοῦσι πρὸς χάριν δημηγορεῖν ἅπαντες, εἰς πᾶν προελήλυθε μοχθηρίας τὰ παρόντα πράγματα· ἀναγκαῖον δὲ ὑπολαμβάνω, μικρὰ τῶν γεγενημένων πρῶτον ὑμᾶς ὑπομνῆσαι.

γ'. Μέμνησθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτε ἀπηγγέλθη Φιλίππῳ ὑμῖν ἐν Θερμοπύλαις

## ΣΧΟΛΙΑ.

ἀξιῶ δὲ ὑμᾶς,] Ἀντὶ τοῦ ἄξιον νομίζω· ὁ γὰρ εὑρίσκεται παρὰ τοῖς Ἀττικοῖς, εἰ μὴ ἄρα σπανίως τὸ ἀξιῶ ἐπὶ τοῦ παρακαλῶ· σημείωσαι δὲ ὡς ἐν τῇ ἀξιώσει κέχρηται προσδιορθώσῃ.

ὁρᾶτε γὰρ] Ἐντεῦθεν αὐτῷ τὸ τρίτον μέρος γενήσεται, τὸ τῆς ἐπιλιμπάνσεως τῶν νῦν πολιτευομένων.

ἀναγκαῖον δὲ ὑπολαμβάνω] Μετιλήλυθεν ἐνταῦθα εἰς τὰ αὐτὰ κεφάλαια· ᾗ ἔστιν αὐτὸ τὸ συμφέρον ἐξεταζόμενον, ᾗ τὸ προηγούμενον μέρος, πότερον χρὴ μένειν ἐν Ὀλύνθῳ τὴν δύναμιν, ἢ μεταγαγεῖν εἰς τὴν Μακεδονίαν.

‡ Μέμνησθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτ' ἀπηγγέλθη] Τοῦτό τινες ἀμαρτάνοντες ὑπενόησαν εἶναι διήγησιν, ἀγνοήσαντες ὡς ἐν συμβουλευτικῷ λόγῳ διηγεῖσθαι οὐκ ἔνεστιν.

Μέμνησθε, ὦ ἄνδρες Ἀθηναῖοι,] Οἱ ἀγῶνες ἐνταῦθεν πείθειν δὲ βουλόμενος τοὺς Ἀθηναίους ἐάσαι καλὰ χώραν τὴν δύναμιν, παραδειγματικὴν πίστιν κέχρηται· πιθανωτέρα δὲ πασῶν τῶν πίστεων ἡ τοιαύτη· διὸ καὶ Ἰσοκράτης μὲν πιθανώτερος εἶναι δοκεῖ, πειρατεύων τοῖς παραδείγμασι· Δημοσθένης δὲ βίαιος ὑπάλληλος, νῦν μὲν τοῖς ἐνθυμήμασι, νῦν δὲ παραδείγμασιν, αὖθις δὲ ἐνίοτε πίστει χρώμενος.

ἐνίοτε πίστει χρώμενος.

κη, τέτον ἢ τέταρτον ἔτ@ τετὶ, Ηραῖον τεῖχ@ πολιορκῶν· τότε τοίνυν, μικρῷ ῥᾳ̃ῖ[1] Μαιμακτηριών. Πολλῶν ὧ λόγων κ᾽ θορύβ@ γιγνομένε παρ᾽ ὑμῖν, ἐψηφίσαδε τετρακόσια τριήρεις καθέλκειν, καὶ τὰς μέχρι πέντε κ᾽ τετρακόσια ἐτῶν, αὐτοὺς ἐμβαίνειν, καὶ τάλαντα ἑξήκοντα εἰσφέρειν· κ᾽ μᾶ ταῦτα, διελθόντ@ δ᾽ ἐνιαυτοῦ τότε, Εκατομβαιῶν, Μεταγειτνιῶν, Βοηδρομιῶν· τότε τε μικρὸς μόγις μετὰ τὰ Μυστήρια, δέκα

1 Μαιμακτηριών.

## ΣΧΟΛΙΑ.

Ηραῖον τεῖχ@] Πολισμάτιον Θρᾴκης.

μὴν μὲν ἦν Μαιμακτηριών.] Χειμέρι@ ἄτ@ ὁ μήν· ἐξ ὧ δείκνυσιν ὅτι, καίτοι χειμῶν@ ὄντ@, πλεῖν ἐψηφίσαδε, τοσαύτη 1 προθυμία πρὸς τὴν βοήθειαν ἐκέχρησθε.

καθέλκειν,] Αντὶ τε ἐμβιβάζειν εἰς τὴν θάλατταν.

μέχρι πέντε κ᾽ τετρακόσια] Ως παραδόξον τέτο εἶπεν, ἵνα ἐμφήνῃ αὐτῶν τὴν πολλὴν σπεδήν· νόμ@ γὰρ κελεύοντ@ παρὰ Αθηναίοις μέχρι τετρακοσίων ἐτῶν στρατεύεσθαι, ἀξιαμένους ἀπὸ ὀκτωκαίδεκα, κ᾽ μέχρι πέντε τῶν εἴκοσι παῖδας ὅπλας τέως περιπολεῖν τὰ περὶ τὴν πόλιν φρούρια· εἰς ὑπερορίες δὲ πολέμες ἀπὸ ἐτῶν εἴκοσι, αὐτοὶ τότε κ᾽ ἤδ; οὐκ ἐκέλευεν ὁ νόμ@ στρατεύεσθαι, πολεμεῖν ἐψηφίσαντο διὰ τὴν πολλὴν σπεδήν, ὡς εἰρῆται.

διελθόντ@ τε ἐνιαυτοῦ] Ητοι μηνῶν ὀκτὼ παρελθόντων ἀπὸ Μαΐε μετοικμείων, κ᾽ πληρωθέντ@ τε ἐνιαυτε τέτε, ἦν Εκατομβαιών, ἤτοι * Ιανουάρι@ ὡς 2 ἄρχει χρόνε παρ᾽ Ελλησιν· εἶτα Μεταγειτνιών, ἦγεν Φεβρουάρι@·

1 βοηθείαι. 2 ἔχει.

δέκα ναῦς ἀπεστείλατε ἔχουσα Χαιρόδημον καὶ στρατιώτας, καὶ πέντε τάλαντα λέγουσιν· ὡς δὲ ἤγγελθη Φιλίππῳ ἀθηναίων, [1] καὶ τεθνεώτων, (ἦλθε γὰρ ἀμφότερα,) οὐκέτι καιρὸν ὑδένα τῷ βοηθεῖν νομίσαντες, ἀφῆκαλε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν ἀγῶνα. ἐν ᾧ δ' οὗτ' ὁ καιρὸς αὐτός. Εἰ γὰρ τότε ἐκεῖσε ἐβοηθήσαμεν, ὥσπερ ἐψηφισάμεθα πρότερον, οὐκ ἂν ἡμῖν ὁ Φίλιππος τότε σωθείς.

δ'. Τὰ

1 ἀθηναίων ἦ.

ΣΧΟΛΙΑ.

εἶτα Βοηδρομιών, ἤγουν Μαρμ· ὅλων ὧν πασῶν μηνῶν ς'. λέγει ὅτι ὁλῶ παρελθόντων μῆνες ἐξ ὧν τριήρεις ἐκπέμπειν ἐψηφίσασθε, ᾗ θάτερον ἤρξεν ἔτος, ᾗ Ἰανουάριος, Φεβρουάριος, Μάρτιος ἤδη παρῆλθε· ᾗ τότε μόλις μὲν τὰ Μυστήρια, ἤτοι μεγάλα, ἦγον τὰ βοηδρόμια, ἀπεστείλατε δέκα ναῦς.

κεναὶς.] Πολιτικῆς βοηθείας, ἤγουν Ἀθηναίων, ὃ ἐστι ξένους ἀντὶ Ἀθηναίων ἐχούσας.

Φίλιππος ἀθηναίων,] Ἐπικινδύνως ἀθηναῖσαι φησὶ Φίλιππον, ὅτε τὴν Μεθώνην ἐπολιόρκει, Ἀγίρωτινὸς γραπτοῦ Μεθωναίου ἀπὸ τοῦ τείχους ἐπιγράψαντος τῷ δόρατι, Ἀγὴς Φιλίππου θανάσιμον [1] σῆμα· εἶτα πάμπαλον, ᾗ καὶ τύχην τινὰ ἐπιτύχοιτο αὐτῷ καὶ τῷ ὀφθαλμῷ· λέγεται δὲ ὅτι ᾗ Φιλίππου ἀντέγραψε πρὸς αὐτὸν, ᾗ ἀπειλήσαντος, ὅμως οὐκ ἐπέτυχεν αὐτὸς ἐπιγράψας δὲ, Ἀγίρα Φιλίππου ἦν λάθῃ, πρεμήσεται.

τὼν ἀπόστολον·] Ἀπόστολον, ἤγουν στόλου· ἀπόστολον γὰρ ἐκάλουν οἱ Ἀθηναῖοι ᾗ πᾶσαν τὴν παρ' αὐτῶν σταλησομένην δύναμιν, τοξοτῶν, ὁπλιτῶν, ἱππέων, τῶν ἄλλων, ἐξαιρέτως δὲ, τὴν ναυτικὴν δύναμιν.

ἦν δ' οὗτος ὁ καιρὸς αὐτός.] Ἀκούσαντες, φησὶ, νοσεῖν τὸν Φίλιππον, ἐξελίπετε τὴν βοήθειαν·

1 ἐπιπέμπα.

ᾗ τότε

δ'. Τὰ μὲν δὴ τότε πραχθέντα, οὐκ ἂν ἄλλως ἔχοι. Νῦν δ' ἑτέρου πολέμου καιρὸς ἥκει. Τίς οὗτος; Δι' ὃν καὶ περὶ τούτων ἐμνήσθην, ἵνα μὴ ταὐτὰ πάθητε. Τί δὴ χρησόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, τούτῳ; εἰ γὰρ μὴ βοηθήσετε πάντι σθένει κ' τὸ δίκαιον, θεάσασθε ὃν τρόπον ὑμεῖς ἐξηλεγμένοι ἔσεσθε πάντα ὑπὲρ Φιλίππου. Ὑπῆρχον Ὀλυνθίοις δυνάμεις τινὲς κεκτημένοις, κ' δίκην οὕτω

## ΣΧΟΛΙΑ.

κ' τότε μάλιστα ἐπιτήδειος καιρὸς βοηθεῖν ἐκείνοις ἦν, ἐν ᾧ κακῶς διέκειτο Φίλιππος.

εἰ γὰρ τότε ἐκείνοις ἐβοηθήσαμεν] Ἐπιγελᾶτο μὲν εἰς ὕστερον παῤῥησίᾳ χρήσασθαι· ἀλλὰ δὲ ἦτιον κ' τῶν ἐπιλοιπῶν, σκώπτων εἰς κυφότητα κ' ῥᾳθυμίαν τὸν δῆμον· ἐ μὲν ἀλλὰ κέκρυπται τὰ τῆς ἐπιτιμήσεως, σφόδρα τεχνικῶς, ὅταν μὲν γὰρ σπεύδειν τι βιλώμεθα τοὺς ἀκούοντας, καὶ ἐπιλιμᾶν ἔχωμεν, ἐγκεκρύφθαι δεῖ τὴν παῤῥησίαν, ἵνα μὴ χαλεπήναντες φιλονεικότεροι γένωνται· ὅταν δὲ τοῦτο μόνον βιλώμεθα ποιεῖν, τὸ σωφρονίζειν ἐπιθυμοῦντες, τότε φανερώτερον τῇ παῤῥησίᾳ προσήκει κεχρῆσθαι.

οὐκ ἂν ἄλλως ἔχοι.] Τὴν αἰτίαν ὅστις βούλεται ἡμῖν εἰπεῖν, διὰ τί ἐχρήσαντο τῷ δυνήματι τούτῳ· ὡς γὰρ δυναλὸν μέλλοποιηθῆναι τὰ ἤδη γενόμενα; κ' γὰρ κ' οἱ φιλόσοφοί φασιν, ὡς ὅτι πάντα δύναται τὸ θεῖον ποιεῖν, χωρὶς ἑνὸς τοῦ ἄλλως ποιῆσαι τὰ ἤδη γενόμενα.

Τί δὴ χρησόμεθα] Ἐρώτησις προθελὶς, οὐκ ἐπηνεγκεῖν τὴν ἀπόκρισιν, βοηθήσομεν, εἶθ' ἕτως τὰ ἑξῆς, εἰ γὰρ μὴ βοηθήσοιμεν ταυτὶ σθένει· ὁ γὰρ τὴν ἀπόκρισιν ἐξελὼν, ἐνέθηκεν [1] αὐτὴν διὰ τοῦ διωτέρου· εἰ γὰρ μὴ βοηθήσοιμεν· ἐκ τούτου δείκνυται τίς ἦν ἡ ἀπόκρισις, ὅτι δεῖ βοηθῆσαι.

ταυτὶ σθένει] Παυλοίᾳ βοηθείᾳ,

[1] αὐτό.



Digitized by Google

ἔτω τὰ πράγματα· οὔτε Φίλιππος ἐθάρρει τότε, οὔθ' ὅτοι Φίλιππον· ὥστε πρόξαμεν ἡμεῖς κἀκεῖνοι πρὸς ἡμᾶς εἰρήνην. Ἦν τοῦτο ὥσπερ ἐμπόδισμά τι τῷ Φιλίππῳ καὶ δυσχερές, πόλιν μεγάλην ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς διηλλαγμένην πρὸς ἡμᾶς· ἐκπολεμῶσαι δεῖν ὡόμεθα τοὺς ἀνθρώπους ἐκ παντὸς τρόπου καὶ, ὃ πάντες ἐθρύλλουν τέως, τοῦτο πρᾶξαι νυνὶ ὅπως δήποτε. Τί οὖν οὐ λοιπόν, ὦ ἄνδρες Ἀθηναῖοι, πάντ' ἐᾶν ἐρρωμένως καὶ προθύμως, ἐγὼ μὲν οὐκ οἶδα· χωρὶς γὰρ τῆς ἀδικίας ὀνειδίζω ἡμᾶς αἰσχύνης, εἰ καθυφείμεθά τι τῶν πραγμάτων, οὐδὲ τὸν φόβον, ὦ ἄνδρες Ἀθηναῖοι,

ΣΧΟΛΙΑ.

οἶον, ναυϊκὴν, ὑπλιτικὴν, καὶ διὰ τῶν ἄλλων.

πόλιν] Τὴν Ὀλυνθον.

ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς] Καλῶς ἐχρήσατο τῇ λέξει· ἐγγὺς γὰρ οὔσης τῆς Μακεδονίας, ἐπιτηρεῖν ὥσπερ ἤμελλεν αὐτῷ τὰ ἀτυχήματα ποτὲ ἀτυχήσῃ, ἵνα τότε αὐτῷ εὐκαίρως ἐπιθῆται.

διηλλαγμένην] Φίλην γενομένην.

ἐκπολεμῶσαι] Ἐχθρὸν καταστῆσαι. καταβαλεῖν.

τοὺς ἀνθρώπους] Τοὺς Ὀλυνθίους.

ἐθρύλλουν] Ὑψηλόν.

ὅπως δήποτε.] Αὐτομάτως.

Τί οὖν οὐ λοιπόν,] Τὸ μέρος τῆς συμφέροντος· ἀνίκητον εἶναι δεῖ τὸ ἀναγκαῖον. πληρωθείσης χρησίμου.

Χωρὶς γὰρ τῆς αἰσχύνης] Καὶ ἐπ



Digitized by Google

Αθηναῖοι, μικρὸν ὀρῶ τὸν τῶν μὴ ταῦτα ἐχόντων μῶν ὡς ἔχουσι Θηβαίων ἡμῖν, ἀπειρηκότων ὑπ' χρήμασι Φωκέων· μηδενὸς δ' ἐμποδὼν ὄντος Φιλίππῳ τὰ παρόντα καλαχρεψαμένῳ, πρὸς ταῦτα ὑπολῖναι τὰ πράγματα. Αλλὰ μὴν εἴ τις ὑμῶν εἰς τοῦτο ἀναβάλλεται ποιήσειν τὰ δέοντα, ἰδεῖν ἐγγύθεν βέλτιον τὰ δεινά, ὄζον ἀκούειν ἄλλοθι γινόμενα, ἢ βοηθὸς ἑαυτῷ ζητεῖν, ὄζον νῦν ἑτέροις αὐτὸν βοηθεῖν· ὅτι γὰρ εἰς τοῦτο ὀκνήσειαι τὰ πράγματα, ἐὰν τὰ παρόντα περῶμεθα, χεδὸν ἴσμεν ἅπαντες ὑμεῖς.

ε. Αλλ' ὅτι μὴ δὴ δεῖ βοηθεῖν, εἶπον

## ΣΧΟΛΙΑ.

ἐκ τῆς ἀδοξίας, ἢ ἐκ τοῦ κινδύνου τὸ συμφέρον συνίστησιν, ἵν' οἱ μὲν σώφρονες ἢ γενναῖοι τὴν αἰσχύνην δείσαιεν, οἱ δὲ πολλοὶ καὶ δημῶδες, τὸν φόβον τὸν ἐκ τοῦ μέλλοντος κινδύνου, βοηθήσωσι τοῖς Ολυνθίοις.

καθυφείμεθα] Ηγοῦν ἐνδοίημεν.

ἐχόντων μὲν ὡς ἔχουσιν] Αντὶ τοῦ ἐχθρῶν ὄντων.

πρὸς ταῦτα ὑπολῖναι] Μᾶλλον γὰρ τὴν Ολυνθον ἐπ' Αθήνας τραπῆναι ἀνάγκη.

Αλλ' ὅτι μὲν δὴ δεῖ βοηθεῖν,] Ανθυποφορά· ἐνταῦθα τὸ προηγούμενον κεφάλαιον πεπλήρωκε, τέλος τὸ συμφέρον· εἰς δὲ τὸ δυνατὸν μεταβέβηκεν, ὃ πάρεστι πᾶσιν ἔχει χώραν· δεικνύοντι γὰρ αὐτοῦ τὸ συμφέρον, ὅτι βοη-



Digitized by Google

πει τις ἀν, πάντες ἐγνώκαμεν· καὶ βοηθήσομεν· τὸ δὲ ὅπως, τοῦτο λέγε. Μὴ τρίπιν, ὦ ἄνδρες Αθηναῖοι, θαυμάσητε, ἂν προάδοξον εἴπω τι τοῖς πολλοῖς· νομοθέτας καθίσατε· ἐν δὲ τούτοις τοῖς νομοθέτας, μὴ θῆτε νόμον μηδένα, εἰσὶ γὰρ ὑμῖν ἱκανοὶ, ἀλλὰ τοὺς εἰς τὸ παρὸν βλάπτοντας ὑμᾶς λύσατε· λέγω ἃ σοὶ μὲν τῶν θεσμικῶν σαφῶς ἔστωσι, καὶ σοὶ μὲν τῶν προτεθυμμένων ἐνίοις·

## Σ Χ Ο Λ Ι Α.

θεῖν δεῖ τοῖς Ολυνθίοις, ἀντίπτωσι, καὶ πῶς δυνησόμεθα, χρήματα μὴ ἔχοντες; ἢ γέγονεν ἡ εἰσοδος τοῦ ξυναλοῦ, ἀντίθεσις πρὸς τὸ συμφέρον· ἐὰν γὰρ ἀποδειχθῇ ὅτι ἢ χρημάτων εὐπορήσομεν, παρασκευάσωμεν τὸ συμφέρον, ὅτι δεῖ βοηθεῖν τοῖς συμμάχοις.

Μὴ τοίνυν, ὦ ἄνδρες Αθηναῖοι] Επειδὴ τῇ ἀπροσδοκήτῳ προσδοκῶν ἀνύειν περὶ πολέμου, αὐτὸς περὶ νομοθετῶν μέλλει λέγειν, διὰ τοῦτο προθεραπεύει τοὺς πολλούς· οἱ γὰρ συνήθεις οὐχ ὑγιάσουσι [1] αὐτὸ παράδοξον, ἀλλὰ ἢ πάνυ ἀναγκαῖον, τολμηρὸν δὲ, τὸ καλεῖσθαι καθίστασθαι νομοθέτας, ὡς λελυμένης τῆς δημοκρατίας ἢ μελλούσης ὀλιγαρχίας γενέσθαι· διὰ τοῦτο τῇ προδιορθώσει χρῆται, διὰ τὸ δοκεῖν ἄτοπον τῆς εἰσηγήσεως· τὸ δὲ μέλλον ῥηθήναι παρὰ τοῦ δήμου, ὅτι σὺ κελεύεις νομοθέτας καθίστασθαι; οὐδὲ γὰρ ἔχομεν νόμον; ἀνακόπτει λέγων, ἐν δὲ τούτοις μὴ θῆτε νόμον μηδένα, ἀλλὰ τὰς εἰς τὸ παρὸν βλαπτούσας ὑμᾶς λύσατε.

νομοθέτας καθίσατε·] Νομοθέτας εἴλετο παρ' αὐτοῖς ἢ ὁ νόμον καινὸν εἰσφέρων, ἢ σάλαν ὁ κρίνων τὰς 2 νόμους, μή πως ἐναντίοι τινὲς ἀλλήλοις ἔλαθον ὄντες· τοῦτο δὲ τὸ ἔργον ἦν τῶν θεσμοθετῶν.

‡ λέγω δὲ τὰς περὶ τῶν θεωρικῶν] Εἰ μὲν γὰρ τὰ θεωρικὰ τῇ θεωρίᾳ ἐδίδοσαν, οὐκ ἂν ἦν· νῦν δὲ τὰ τῶν γραμματέων τοῖς θεωροῖς διανέμουσιν. Ἐνὸς δὲ ὄντος νόμου, πῶς πολλοὺς αὐτοὺς λέγει;

1 αὐτῷ.

2 μομίμους.

Φαμὲν

ἐνίους· ὧν οἱ μὲν, τὰ στρατιωτικὰ τοῖς αὐτοῖς μέρεσι διανέμεσθαι θεωρικά· οἱ δὲ, τοὺς ἀταλίβους αὐθωρὸν καθιστᾶσιν· εἶτα καὶ τοῦτο τὰ δέοντα ποιεῖν βουλομένους, ἀθυμοτέρους ποιοῦσιν. Ἐπειδὰν δὲ ταῦτα λύσητε, καὶ τῷ δ' τὸ βέλτιστα λέγειν ὁδὸν τραχεῖαν ἀσφαλῆ, τιμωμένα τὸν γεγραμμένα ἃ πάντες ἴσασιν ὅτι συμφέρει, ζητεῖτε· πεῖσαι δὲ ταῦτα πρᾶξαι, μὴ σιωπᾶτε τίς εἰπὼν τὰ βέλτιστα ὑπὲρ ὑμῶν,

## ΣΧΟΛΙΑ.

Φαμὲν δὲ διοικήσεις πολλὰς καὶ ψηφίσματα γεγενῆσθαι περὶ τῶν χρημάτων, διὸ καὶ πολλοὺς νόμους λέγει; ἵνα λεθῶσι ἐν τοῖς δημοθέταις, ἢ ἵνα μὴ δόξῃ μόνῳ τῷ Εὐβούλῳ ἐναντιοῦσθαι ὡς ἐχθρός.

οἱ δὲ, τοὺς ἀταλίβους] Τίνι διαφέρουσιν οἱ ἀταλίβοντες τῶν στρατηλατούντων, καὶ τῶν ἀγραυλούντων; Ἀγραύλους μὲν ἴσως, ὁ μηδέποτε ἐγγραφεὶς εἰς τὸν κατάλογον τῶν στρατιωτῶν· ἀταλίβους δὲ, ὁ ἐγγραφεὶς μὲν, μὴ ἐξιὼν δὲ εἰς τὰς ἐπιβαλλούσας αὐτῷ στρατείας· λειποταξίου δὲ, ὁ παρὰ τὴν μάχην καὶ τὸ στρατόπεδον τὸν τάξιν καὶ τοὺς συνασπιστὰς ἀπολιπών· νόμοι δὲ ἦσαν κελεύοντες ἀφίσθαι

τινας τῆς στρατείας, ἵνα στρατεύειν εἰς τὰ Διονύσια· καλὰ χάριν οὖν τὴν ἐκείνων, εἰ χορηγοὶ τοὺς νεανίσκους; καὶ τοὺς ἐκ τῆς καταλόγου μάλιστα ἐπιλέγοντο· ὁ δὲ Δημοσθένης, τοὺς μὲν ἐκ τοῦ καταλόγου στρατεύεσθαι ἔφη, ἐκ δὲ τῆς ἀχρήστου ἡλικίας γίνεσθαι τοὺς χορευτάς.

Ἐπειδὰν δὲ ταῦτα λύσητε] Βέλτιστα ψήφισμα λέγειν συμφοῦντα δήμῳ, τὸ παρέχον τὴν ἄδειαν τῷ παρανομεῖν 2 τὸν νόμον.

τιμωμένα τὸν γεγραμμένα] Ψηφίσματα κύριοι συγχρᾶζειν τὸν δῆμον· τῶν γὰρ ψηφισμάτων μόνον τὸ συμφέρον ἡγουμένων τὸ λοθῆναι τὰ θεωρικὰ, αὐτὸς φέρας

1 Deest τῷ. 2 τὸν νόμον.



Digitized by Google

ὑμῖν, ὑφ' ὑμῶν ἀπολέσθαι βεληθείαν· οὐ γὰρ ἀφήσετε· ἄλλως τε καὶ τούτου μόνου παρεγγέγνεται μέλλοντος, τῷ παθεῖν ἀδίκως τι κακὸν, τὸν ταῦτ' εἰπόντα καὶ γεγράψαντα· μηδὲν ἧττον ὠφελῆσαι τὰ πράγματα, ἀλλὰ καὶ εἰς τὸ λοιπὸν μᾶλλον ἔτι ἢ νῦν, τὸ τὰ βέλτιστα λέγειν φοβερώτερον ποιῆσαι. Καὶ λύειν γε, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς νόμους δεῖ τούτους αὐτοὺς ἀξιοῦν, οἵπερ τεθείκασιν· ἃ γάρ ἐστι δίκαιον, τίνα μὴ χαίειν, ἢ πᾶσαν ἔδαψε τὴν πόλιν, τοῖς τότε θεῖσιν ὑπάρχειν, τίνα δ' ἀπέχθειαν, δι' ἣν ἂν ἅπαντες ἄμεινον πράξαιμεν, τῷ νῦν τὰ βέλτιστα εἰπόντι ζημίαν γράφειν ἢ ταῦτα

ΣΧΟΛΙΑ.

παρατίθηκεν, ὡς καὶ τῶν δήμου τοῦτο σπουδάζοντος· τὸ δὲ ὅτι, σύνδεσμος.

ἄλλως τε καὶ τούτου μόνου] Ἀντίπατρον λέγ', ἵνα μή τις εἴπῃ, τί δὴ ἀκούεις σὺ, ὦ φιλόπολις, ὑπὲρ τῆς παιρίδος ἀποθανεῖν, ὡς ὁ Κόδρος καὶ τινες ἄλλοι; ἐπάγγ, ὅτι ἐκεῖνοι μὲν εἶχον ὥσπερ παραμυθίαν τὸ ἀποθνήσκειν ὑπὲρ τῶν χρησιμεύειν τοῖς πράγμασιν· ἐγὼ δὲ, ἐὰν ἀποθάνω νῦν, οὐ μόνον οὐκ ὠφελήσω, ἀλλὰ καὶ βλάψω, φοβερώτερον καθιστὰς τὸ βῆμα τοῖς βουλομένοις παῤῥησιάζεσθαι.

οἵπερ καὶ τεθείκασιν] Βούλεται παίδηγορον αὐτὸν ἑαυτῷ ποιῆσαι τὸν Εὔβουλον.

πρὶν δὲ ταῦτα εὐτρεπίσαι.] Ἀντίπατρον ἔλεγεν, ἀλλὰ 1 διὰ τί ὁ

1 Desunt διὰ τί ὁ.

σὺ

ταῦτα διτρεπίσαι, μηδαμῶς, ὦ ἄνδρες Ἀθηναῖοι, μηδένα ἀξιώτε τηλικοῦτον εἶναι παρ' ὑμῖν, ὥστε τοὺς νόμους τούτους θαβαίλια μὴ δοῦναι δίκην, μηδ' οὕτως ἀνόητον, ὥστε εἰς πρᾶγμα κακὸν αὐτὸν ἐμβαλεῖν.

ς'. Οὐ μὴν ὀδ' ἐκεῖνό γ' ὑμᾶς ἀγνοεῖν δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ψήφισμα ὀδενὸς ἄξιόν ἐστιν, ἂν μὴ προσθῇ τὸ ποιεῖν ἐθέλειν τάγε δόξαντα προθύμως ὑμᾶς· εἰ γὰρ αὐτάρκη τὰ ψηφίσματα ἦν, ἢ ὑμᾶς ἀναγκάζειν ἃ προσήκει πράττειν, ἢ σὲ ὧν γράφει διαπράξασθαι, οὐδ' ἂν ὑμεῖς πολλὰ ψηφιζόμενοι, μικρὰ μᾶλλον δ' οὐδὲν ἐπράττετε

ΣΧΟΛΙΑ.

σὺ λύσεις τὸν νόμον, μηδὲν εὐλαβηθείς; ἀπόκρισιν ἐν διλημμάτοις· ἢ μὲν ὃ δώσω δίκην, λύσας τὸν νόμον, τυραννικὸν τὸ τοιοῦτον· εἰ δὲ ἀνάγκη κινδυνεύειν, πῶς οὐκ ἀνόητος ἔσομαι εἰς προδήλου κακὸν ἐμαυτὸν ἐμβάλλων.

Οὐ μὴν οὐδ' ἐκεῖνό γ' ὑμᾶς] Ἀντίφασιν ἐπαναρθοῦται, μηδὲν φοβηθῆς, ὦ Δημοσθένης, τὸν νόμον λύσας· ψήφισμα γὰρ ποιοῦμεν ὥστε λυθῆναι· τί οὖν φησιν; ἂν ψηφίσηται μὲν, μηδὲν δὲ πράξῃ τῶν ἐφεξῆς, οἷον, ἐὰν μὴ συνέλθῃ ὥστε λῦσαι, ἢ συνελθόντες μὴ λύσωσιν, τί τὸ κέρδος τοῦ ψηφίσματος.

οὔτ' ἂν ὑμεῖς πολλὰ ψηφιζόμενοι,] Ἀσαφὲς τὸ χωρίον· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, οὔτ' ἂν ἐδεήθητε πολλῶν

Digitized by Google

πράξεις τούτων, ὅτε Φίλιππος τοσοῦτον ὑβρίκει χρόνον· πάλαι γὰρ ἂν ἴσως ἁπάντων ἐδεδώκει δίκην· ἀλλ' οὐχ ὅτῳ ταὐτὰ ἔχει· τὸ γὰρ πράττειν ἃ δεῖ λέγειν καὶ χειροήθειαν ὕστερον ἐν τῇ τάξει πρότερον τῇ δυνάμει καὶ κρεῖττόν ἐστι· τοῦτ' οὖν δεῖ προσεῖναι, τὰ δ' ἄλλα ὑπάρχει· καὶ γὰρ εἰπεῖν τὰ δέοντα παρ' ὑμῖν, εἰσίν, ὦ ἄνδρες Ἀθηναῖοι, δυνάμενοι, καὶ γνῶναι πάντων ὑμεῖς ὀξύτατοι τὰ μηθένια· καὶ πρᾶξαι δὲ δυνήσεσθε νῦν, ἐὰν ὀρθῶς ποιῆτε. Τίνα γὰρ χρόνον, ἢ τίνα καιρὸν, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ παρόντι βελτίω ζητεῖτε; ἢ πότε ἃ δεῖ πράξετε, εἰ μὴ νῦν; Οὐχ ἅπαντα μὲν ἡμῖν τὰ χωρία περείληφεν ἀνθρωπος; εἰ δὲ καὶ ταύτης κύριος τῆς χώρας γένη-

σεται,

1 ὑπάρχειν.

ΣΧΟΛΙΑ.

πολλῶν ψηφισμάτων, καὶ ἐπραξαμεν ἂν ἐξ αὐτῶν ἢ μικρὰ, ἢ οὐδέν· ἐξόν γὰρ ἦν ψήφισμα γράψαντας καθαγωνίσασθαι τὸν Φίλιππον.

καὶ γὰρ παρόντων] Γνώμη ἀθυμαλικὴ· τάττει δὲ Δημοσθένης διὰ τὸ γνώμης ἐγύμνασεν· ἔστι δὲ ὁ τόπος, τὸ αἴτιόν τινι τοῦ εἶναι, πρώτου ἐστιν· αἴτια δὲ τὰ ἔργα τῶν λόγων· πρόσεστι ἄρα ἔτι καὶ σφ-

λιιι

σε), πάντων αἴσχιστα [1] πεισόμεθα, Οὐχ ὃς εἰ πολεμήσαιεν, ἑτοίμως σώσειν ὑπαρχόμεθα, οὗτοι νῦν πολεμοῦσιν); Οὐκ ἐχθρός; οὐκ ἔχων τὰ ἡμέτερα, οὐ βαρβαρος; οὐχ ὅ,τι ἂν εἴποι τις; Ἀλλὰ πρὸς θεῶν ἅπαντα ταῦτα ἐάσαντες, καὶ μονονουχὶ ξυγκαλασκευάσαντες αὐτῷ, τότε σὺ αἰτίους οἵ τινές εἰσι τούτων ζητήσομεν; οὐ γὰρ αὐτοί γ' αἴτιοι φήσομεν εἶναι, σαφῶς οἶδα τοῦτ' ἐγώ· ἀλλὰ καὶ σὲ τοῖς τοῦ πολέμου κινδυνεύουσι, τῷ φυγόντων ἀδεὲς ἑαυτὸν καθησυχάζειν· ἀλλὰ καὶ τὸ σεμνηγορεῖν, καὶ τὸ πλησίον, καὶ πάντων μᾶλλον· ἥττων) δ' ὅμως ἅπασι πάντας σοῦ φύγοντας δήπου· μέγιστον γὰρ ὄφελος τοῦ καθησυχάζειν τῷ ἄλλῳ· εἰ δὲ τοῦτ' ἐποίεις ἅπας, ἐνίκων ἄν·

1 πεισόμεθα; Οὐχ.

ΣΧΟΛΙΑ.

λιν, ὃ δὲ ἔστιν τὸ παράπλαιε, τοῦτο παροῦσόν ἐστι.

πρᾶξαι δὲ δυνήσεσθε] Οὐκ εἶπε πολεμήσουσι, φεύγων τὸ λυπεῖν δὲ δυστυχοῦσι τὸ ὑφεστῶτα.

Τίνα γὰρ χρόνον,] Καὶ τοῦτο τῷ δυναμένῳ μάρτυρι ἐοικὸς πᾶσα γὰρ ὥρα καιρὸν καὶ χρόνον ἐξέτασις, εἰς τὸ δηλοῦσθαι ἔχει τὸν ὑποφερόμενον.

Οὐκ ἄπιστα μὲν] Ἀναπεφαλαίωσις

ἀν· καὶ νῦν τί λέγει τις τὰ βέλτιστα; ἀφασὰς ἄλλῳ εἰπάτω, μὴ τοῦτον αἰτιάσθω. Ετερος λέγει τις βελτίω; ταῦτα ποιεῖτε ἀγαθῇ τύχῃ· ἀλλ' οὐχ ἡδέα ταῦτα; οὐκέτι τοῦθ' ὁ λέγων ἀδικεῖ· πλὴν εἰ, δέον αὐξαῖς, ὠφαλείπει. Εὐξαῖς μὲν γάρ, ὦ ἄνδρες Αθηναῖοι, ῥᾴδιον, εἰς ταὐτὸ πάνθ' ὅσα βέλτιστ' ἄν τις αὐτοῖς εὔξαιτο συναγαγών· ἐλέσθαι δ' ὅταν δέῃ πραγμάτων προτεθῇ σκοπεῖν, οὐκέθ' ὁμοίως εὔπορον, ἀλλὰ δεῖ τὰ βέλτιστα ἀντὶ τῶν ἡδέων, ἂν μὴ ἀμφότερα ᾖ, λαμβάνειν.

ζ'. Εἰ δέ τις ὑμῖν ἔχει καὶ τὰ θεωρικὰ εἶν, καὶ πόρους ἑτέρους λέγειν

ΣΧΟΛΙΑ.

ωσις ἢ καλὰ ἀναποδισμόν.

ἀλλ' οὐχ ἡδέα ταῦτα,] Καλὰ ἐρώτησις· οὐχ ἡδέα, φησὶ, τὰ παρ' ἐμοῦ λεγόμενα, ὅτι συμβουλεύω τὰ θεωρικὰ γενέσθαι στρατιωτικά; ἀλλ' οὐκ ἐγὼ, φησὶν, αἴτιος τούτων, ἀλλ' ἡ φύσις τῶν πραγμάτων, ὅτι δύναμαι εἰσαγαγεῖν, καὶ τὰ ἡδέα καὶ τὰ ὠφέλιμα.

πλὴν εἰ, δέον εὔξασθαι,] Πλὴν εἰ μὴ ἄρα, φησὶν, ἐν τούτῳ ἀδικῶ, ἐν ᾧ οὐκ εὔχομαι καὶ ἑκάτερα ὑμῖν προσγενέσθαι, καὶ τὰ ἡδέα, καὶ τὰ ὠφέλιμα.

Εὔξασθαι μὲν γάρ,] Ζηλοῦτε, φησὶ, παρὰ τῶν συμβούλων εὐχὴν, ὡς ὄντων ἀπαιδεύτων τοῦτο· οὐ γὰρ μόνον ῥᾴδιόν ἐστι τοῦτο, ἀλλὰ καὶ ἡδύ· εὐχεῖται γάρ τις ὅ,τι καὶ βούλεται· τὸ δὲ δέον προσέθηκε,

συν-

1 δύναται. 2 ἡμέτερα.

γειν σεμνιώτικους, αὐχ ὅσπερ κεῖνων; εἴποι τις ἄν. Φημὶ ἔγωγε, εἴπερ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι. ἀλλὰ θαυμάζω εἴ τῳ πόλις ἀνθρώπων, ἢ γέγονεν, ἢ γένοιτ' ἄν, ἂν τὰ παρόντα ἀναλώσῃ πρὸς ἃ μὴ δεῖ τῶν ἀπόντων ἀπορῆσαι πρὸς ἃ δεῖ. Ἀλλ' οἶμαι μέγα τοῖς τοιούτοις ὑπάρχει λόγοις ἡ παρ' ἑκάστῳ βούλησις· διόπερ ῥᾴδιον ἁπάντων ἐστὶν αὐτὸν ἐξαπατῆσαι· ὁ γὰρ βούλεται τοῦθ' ἕκαστος καὶ οἴεται· τὰ δ' πράγματα πολλάκις οὐκ ἔστω πέφυκεν.

ἡ. Ὁρᾶτε δή, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦθ' οὕτως, ὅπως καὶ τὰ πράγματα ἐνδέ-

## ΣΧΟΛΙΑ.

συνδράσειν ταῖς γνώμαις τῶν φιλοσόφων εἰσὶ γὰρ αὐτῶν οἳ φασι, μὴ δεῖν εὔχεσθαι περὶ τῶν ἐφ' ἡμῖν· ἢ κ ἴσως ἄκαφελὲς τὸ τῆς 1 εὐχῆς 2 ἡγέμονον.

Εἰ δέ τις ὑμῖν] Οὐκ ἔστι τοῦτο ἀνθρώπινος, ἀλλὰ νόημα ἀπονενοημένου τῆς ἀκαδολῆς τὸν δῆμον· ἵνα γὰρ μὴ μέλλοιεν πόνους ἐπιζητῶσιν, ἐπεισοδιοῦσι τοῖς πραγμάτων. διὰ τοῦτο εἶπεν, ὅτι θαυμάζω εἴ τις 3 ἐνθυμήσεται τῶν ἀπόντων πρὸς ἃ δεῖ, δυσπορίαν· οἱ γὰρ μέλλοντες πόνοι, ὑδὲν ποιοῦσι πρὸς τὰ παρόντα· αἱ γὰρ νῦν πράξεις ἐκ μέλλοντας πόνους ἀπαιτοῦσι.

πρὸς ἃ μὴ δεῖ] Παρίσωσις καὶ τὸ τέλος.

1 τύχης. 2 ἡγέμονον. 3 ἐνθυμήσεται.

ἀνδρες, ἐκ ἀναίσθητε ἀξιέντων, καὶ μαὶ ἀδὲν ἔξεστι. Οὗτοι σωφρόνων, ἀδὲ γνησίων ἐστὶν ἀνθρώπων ἐλλείπουσάς τι δι' ἀπορίαν χρημάτων τῷ πολέμῳ, ἀγχέγως τὰ τοιαῦτα ἀνείδη φέρειν· ἀδ' ὑπὲρ μὲν Κορινθίους, καὶ Μεγαρέας, ἀρπαζούσας τὰ ὅπλα πορεύεσθε· Φίλιππον δ' ἐᾶν πόλεις Ἑλληνίδας ἀνδραποδίζεσθαι, δι' ἀπορίαν ἐφοδίων τοῖς στρατιώταις· ἐκ ταῦτ' ἀχ ἱκανὰ ἀπέχθειάν τισιν

## ΣΧΟΛΙΑ.

ἢ μισθὸν ἔξεστε.] Μείζονα χρημάτων αὐτοῖς ἀπορίαν ὑπολάβετε. ὁ γὰρ μισθὸς, καθημερινὴ δόσις ἐστὶ χρημάτων· τὰ δὲ θεωρικὰ, ταῖς πεντημπερίαις ἐλάμβανον.

Οὗτοι σωφρόνων, ἀδὲ γνησίων] Σωφρόνων, ἀντὶ τῶ σὺν νῷ· ἢ γνησίων δὲ, ἀγενῶν, ἀνελευθέρων, ἀχὶ ἰσχυρῶν.

‡ οὐδ' ὑπὲρ μὲν Κορινθίους] Παράδειγμα φρόνιμον εἰσάγει τὸν αὐτοῖς· πολέμων γὰρ μεμνῆσθαι καὶ καθορθωμάτων αὐτῶν ἄνευ καμάτων καὶ πόνων, ἵνα ταὐτὸν νομίσωσι καὶ ὑπὲρ τῶ παρόντος.

‡ ὑπὲρ Κορινθίους] Κορίνθιοι λειποταξήσαντες καὶ' Αθηναίων, καλέσαντες πάλαι Ἕλληνας εἰς τὰ Ἴσθμια, ἐτύγχανε γὰρ ἦν ἡ Πανήγυρις, τοὺς Αθηναίους παρῆκαν· οὗτοι δ' ὡς εἰσιόντες ὅπλα ἔκρυψαν τὴν θυσίαν μετὰ ὁπλιτῶν, ἵ' εἰ δέξαιντό αὐτὴν, ὑπόσπονδοι ὑποτρέψωσιν· ἢ γὰρ ἐπὶ πόλεμον ἐξελήλυθασαν· ὁ δὴ καὶ γεγόνασι· ἐφθασαν γὰρ τὴν παρασκευὴν, οἱ Κορίνθιοι ἰδίᾳ αὐτοὶ· ἄνευ οὖν τῶν συμμάχων καθορθῶσαι αὐτοὺς τοῦτο ἐδὲ πρᾶγμα.

οὐδ' ὑπὲρ μὲν Κορινθίους,] Ἀλλ' οὐδὲ τὸ, ἀδαμῶς σωφρόνων ἐστὶν, ἀδὲ γνησίων, ὑπὲρ μὲν Κορινθίους καὶ Μεγαρέας, ὃ ἐστιν Ἕλληνας ὄντας, τιμωρεῖσθαι, ὑπὲρ δὲ Φίλιππον τὸν βάρβαρον ὅλα, μήτ' αἰ Μ' ἀθῆναι αἱ καλὰ Μεγαρέων καὶ Κορινθίων, αὗται· οἱ Μεγαρεῖς, τὴν ὀργὴν παρίτεμνον· οἱ δὲ Κορίνθιοι, συνεμάχοντο τοῖς Μεγαρεῦσι· καὶ διὰ τοῦτο, εἰς πόλεμον Αθηναίοις καθέστησαν. Ὀργὰς δὲ ἐκαλεῖτο ἡ χώρα, ἢ διὰ τὰ ὄργια τῶν θεῶν, ἢ διὰ

τιμὴν ὑμῶν, τἄλλως περήρημαι λέγειν· ἐγὼ γὰρ ὅτως ἄφρων ἐστὶ καὶ ἀτυχὴς εἰμὶ ἐγὼ, ὡς ἐπεχθάνεσθαι βέλεσθαι, μηδὲν ὠφελεῖν νομίζων· ἀλλὰ δικαίου πολίτου κρίνω, τὴν τῶν πεπραγμάτων σωτηρίαν ἀντὶ τοῦ ἐν τῷ λέγειν χάριν αἱρεῖσθαι· ἐγὼ γὰρ τοὺς ὑπὲρ τῶν πεπραγμένων ἡμῖν λόγους ἀκούω, ὥσπερ ἴσως καὶ ὑμεῖς, ὃς ἐπαινοῦσι μὲν οἱ παρόντες ἅπαντες, μιμοῦνται δ' οὐ πάνυ, τούτῳ τῷ

## ΣΧΟΛΙΑ.

ἢ διὰ τὸ ἀργὸν εἶναι καὶ ὀργᾶν ἐν αὐτῇ.

ἐξ ἧς Μεγαρέας ἀφτάσαντας τὸ ὅπλα πορεύεσθαι] Τὴν ἱερὰν γῆν, ἣν ὀργάδα καὶ ἀτέλειαν ἐγεώργουν οἱ Μεγαρεῖς· πάλιν τοίνυν ὡς εὐσεβεῖς οἱ Ἀθηναῖοι ἐξελθόντες ἔπαυσαν αὐτοὺς, μόνῃ τῇ θέᾳ νικήσαντες.

ἀλλὰ δικαίου πολίτου] Ἐντεῦθεν μεταβαίνει ἐπὶ τὸ τρίτον τῶν λόγου μέρους, ἐπιλογικὸν μὲν εἶναι δοκῶν, ἔχον δὲ καλαδρομὴν τῶν τοῦ νόμου τῶν θεσμικῶν, καὶ τῶ θείου αὐτόν· πίστεως γὰρ ἀναλώθως τοῦτο τὸ μέρος· εἰ γὰρ, διὰ τὰς χρημάτων διάφθαρσιν τὰ πραγματα τῆς πόλεως, αἴτιος δὲ τούτων ὁ νόμος, ἄξιον ἦν καλαδραμεῖν αὐτῶ τε καὶ τῶ θείῳ αὐτόν· ἡ δὲ καλαδρομὴ γίγνεται καὶ ἀντιθέσεσιν τῶν νῦν πολιτευομένων, καὶ τῶν ἐπὶ τῶν προγόνων· καὶ μέν γε ἑαυτὸν ἀπέφηνε· ταύτην δὲ καθήψαλο, καὶ δικόθεν ἑαυτὸν συνέστησεν· ἐξ ὧν καὶ τούτους οὐ μιμεῖται, καὶ τοὺς παλαιοὺς ἐξέλαθε, τῷ ἔθει καὶ τῷ τρόπῳ τῆς πολιτείας, ὡ τοὺς καλοῦθώμασι.

ἀκούω, ὥσπερ ἴσως καὶ ὑμεῖς,] Ἐπὶ μὲν αὐτῶν τίθησι τὸ ἴσως· ἐπὶ δὲ ἑαυτοῦ τὸ ἀκούω, ὡς ἀκριβεστέρω αὐτῶν καὶ πλέον πραγματευόμενος τὰ τῶν προγόνων, οἷα δὴ καὶ τὰ ἐκείνων ζηλεῦσθαι. Τινὲς δὲ ἐξηγοῦνται τὸ ἴσως πρὸς τὸν ἀκούω, ὅτι καὶ τινὲς ἦσαν ἴσως, μὴ μόνον ἀκοῇ εἰδότες τὰ τῶν προγόνων, ἀλλὰ καὶ τῇ θέᾳ διὰ τὸ μακρόβιοι ἑαυτῶν.

οἱ παρόντες] Οἱ ἐκκλησιαζοῦντες.

τῷ ἔθει ἢ τῷ τρόπῳ τ' πολιτείας χρῆσθαι, τὸν Αἰσχίνου ἐκεῖνον, τὸν Νικίαν, τὸν ὁμώνυμον ἑαυτῷ, τὸν Πεισικλέα· ἐξ ὧν οἱ διεφθαρμένοι ὑμᾶς ἕτοιμοι πεφήνασι ῥήτορες, τί βούλεσθε, τί γράψω, τί ὑμῖν χαρίσομαι, πρέπειν τ' παρανοίκια ἡδονῆς ἢ χάριτος τὰ τ' πόλεως πράγματα, ἢ τοιαῦτ' συμβαίνει· ἢ τὰ μὲν τούτων πάντα καλῶς ἔχει, τὰ δ' ὑμέτερα αἰσχρῶς.

θ'. Καί τοι σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ἄ τις ἂν κεφάλαια εἰπεῖν ἔχοι, τῶν

## ΣΧΟΛΙΑ.

ἐκεῖνον,] Τὸ ἐκεῖνον ὡς θαυμάζων προσέθηκε.

τὸν Περικλέα·] Διὰ τί τὸν Περικλέα τέθεικε τελευταῖον, πρεσβύτερον ὄντα τοῦ τε Νικίου καὶ τοῦ Δημοσθένους: Ὅτι τοὺς ἄκρους καθ' ἁρμονίαν ἐν ἄκροις ἔταξε· τοὺς δὲ μέσους ἐν μέσοις· διὰ τί δὲ μὴ καὶ Θεμιστοκλέους καὶ Μιλτιάδου ἐμνήσθη: ἐκείνοι μὲν καλὰ βαρβάρων εὐδοκίμησαν, οὗτοι δὲ καλὰ τὴν πολιτείαν.

οὗτοι πεφήνασι] Φιλιππισμὸν ἔοικε τῷ Εὐβούλῳ καθηγεῖσθαι.

προστάτας] Ἀλλὰ τῷ τῷ λόγῳ τῶν ἡδέως ἀπολωλεκυίαι τῆς πόλεως ἡ ἀπώλεια· ἀπὸ μεταφορᾶς τοῦ προτίνειν ἐν συμποσίοις, ὅταν τις χάριν ὁμολογῶν τινι, δεξιωσάμενος αὐτὸν τῷ κύλικι, μετὰ τοῦτο χαρίσηται αὐτῷ καὶ τὸ ποτήριον ἀργυροῦν ὂν ἢ χρυσοῦν.

Καί τοι σκέψασθε,] Εἰς ταύτην τὴν ἀπιξίτασιν ἐχώρησεν, ἣν διαιρεῖ εἰς τρία, πῶς μὲν ἐπολιτεύοντο πρὸς τοὺς Ἕλληνας, πῶς δὲ πρὸς τὴν πόλιν, πῶς δὲ τὸ καθ' ἑαυτοὺς ἴδιον.

οὐκ ἐχαρίζοντο] Τί οὖν, οἱ πρόγονοι ἐμίσουν αὐτούς, καὶ οὐκ ἐφίλουν; ἐπάγει εὐθὺς ὅτι ἐφίλουν, ἀλλ' οὐκ ὡς οἱ ἄλλοι προδόται· ἕτοι

τῶν τ' ἀπὸ τῶν προγόνων ἐξεῖναι, καὶ τῶν ἀφ' ὑμῶν ἔσται ἡ βοήθεια καὶ γνώμη ὑμῖν ὁ λόγος· οὐ γὰρ ἀλλοτρίοις ὑμῶν χρώμενοι παραδείγμασιν, ἀλλ' οἰκείοις, ὦ ἄνδρες Ἀθηναῖοι, διδάσκομεν ἔξειν χρεών. Ἐκεῖνοι τοίνυν, οἷς οὐκ ἐπαινέσαντ' ἂν λέγοιτε, ὑφ' ἑαυτοὺς ὅσους ὑμᾶς ἔστι καὶ πέντε μὲν καὶ πεντακοσίοις ἔτεσι τῶν Ἑλλήνων ἦρξαν ἐκόντων· πλείω δ' ἢ μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν ξυνήγαγον· ὑπάρχει δὲ ὁ ταύτην τὴν χώραν ἔχων αὐτοῖς βασι-

## Σ Χ Ο Λ Ι Α.

ἔστι γὰρ φιλεῖσθαι τ τῇ δοκεῖν, καὶ χαρίζεσθαι ἐπὶ τὸ ἀπολέσαι τὰ πράγματα.

πέντε μὲν] Πῶς τετρακόσια καὶ πέντε ἔτη ὧν εἶπεν, ἐν ἑτέρῳ λόγῳ τρία καὶ ἑβδομήκοντα ἄρξαι τῶν Ἑλλήνων φησί; δεῖ γὰρ εἶναι ἐγγὺς τὸν ἀριθμόν, οἷον, ὁ παῖς ἔστω ἑπτὰ μοιρῶν τις εἶναι ὅτι τριῶν ἐτῶν ἐστιν ἢ εἴκοσιν, ἀλλὰ τριῶν ἢ τεσσάρων ἢ πέντε· ἐγγὺς γὰρ ὁ ἀριθμός. Λέγομεν δὲ ὅτι προσέθηκεν ἐναῦθα τὸ ἐκόντων· τὰ γὰρ ἄλλα ὀκτὼ καὶ εἴκοσιν ἔτη ἀκόντων αὐτῶν ἦρξαν, διὰ τὸ ἐπαχθῶς φέρεσθαι τοὺς Ἕλληνας τοὺς Ἀθηναίους.

τῶν Ἑλλήνων] Μεμνῆται τούτων Θουκυδίδης ἐν τῇ δευτέρᾳ ἱστορίᾳ.

ὑπάρχει] Καὶ μίσει καὶ φόβῳ ἠμείψαντο αὐτοὺς Περδίκκας ὁ * ἀδελφὸς Φιλίππου, θεὸν Ἀμύντα τῷ παιδὸς Φιλίππου, ὡς φησι Δούρις· Ἀλεξάνδρου γὰρ τοῦ φιλέλληνος, οὗ γεγόμεν. ἐπὶ τῶν Μηδικῶν, δύο παῖδες, Περδίκκας καὶ Φίλιππος· ἐπολέμησαν οὖν πρὸς αὐτὸν οἱ Ἀθηναῖοι. Ἄλλως. Οἱ μὲν Περδίκκαν εἶναί φασι τὸν ἐπιβουλεύσαντα τοῖς φόβῳ Ἀθηναίοις· οἱ δὲ, Φιλίππου τινὰ τῷ Φιλίππῳ φόβον.

βασιλὰς, ὥσπερ ἐστὶ περσῆκον βάρβαρον Ἕλλησι· πολλὰ γὰρ καὶ καλὰ, καὶ πεζῇ καὶ ναυμαχοῦντες, ἔστησαν τρόπαια αὐτοὶ σφετεριόμενοι μόνοι· γ' ἀνθρώπων χρείττω τιὼ ἐπὶ τοῖς ἔργοις δόξαν τῶν φθονούντων καλέλιπον. Ἐπὶ μὲν δὴ τῶν Ἑλληνικῶν ἦσαν τοιοῦτοι· ἐν γ' τοῖς καὶ τιὼ πόλιν αὐτιὼ θεάσασθε ὁποῖοι, ἔν τε τοῖς κοινοῖς, καὶ τοῖς ἰδίοις. Δημοσίᾳ μὲν τοίνυν, οἰκοδομήματα καὶ κάλλη τοιαῦτα καὶ τοσαῦτα καθεσκεύασαν ἡμῖν ἱερῶν, καὶ τῶν ἐν τούτοις ἀναθημάτων, ὥστε μηδενὶ τῶν ἐπιγενομένων ὑπερβολιὼ λελεῖφθαι· ἰδίᾳ δ', οὕτω σώφρονες ἦσαν, καὶ σφόδρα ὥστ

ΣΧΟΛΙΑ.

Βασιλὰς,] Περδίκκας ὁ πάππος τοῦ Φιλίππου.

μόνοι δὲ ἀνθρώπων] Ὅτι, οἱ μὲν τοῖς ἄλλοις φθονοῦντες, καθαιροῦσιν αὐτῶν τὴν δόξαν διὰ τῆ λοιδορεῖν· τὴν δὲ ἐκείνων εὐκλειαν, ἐδιὰς ἀφανίσαι διδύνηται.

κρείττω] Διὰ τὸ ὑπερβάλλον τῶν πράξεων· οἱ γὰρ φθονοῦντες ἢ τοῖς ἴσοις φρονοῦσιν, ἢ τοῖς μικρῷ μείζοσιν, ἢ μὴν τοῖς πάνυ ὑπερβάλλουσιν.

ὁποῖοι,] Ὁ ἐστι, πῶς δίκαιοι κοινῶς πάντα πράττοντες, εἰς τὰ δημόσια αὐτῶν· εἶτα καὶ ἐχρήσαντο πῶς ἕκαστος ἰδίᾳ ἑαυτῷ.

ἀναθημάτων,] Ταῦτα πάντα ἐποίησαν καὶ ἀνέθεσαν ἀπὸ τῶν λαφύρων τῶν Περσικῶν, τὸν δίφρον τὸν ἀργυρόπουν τῷ Ξέρξῃ, καὶ τὸν ἀκινάκην τὸν Μαρδονίου, καὶ τὰ Προπύλαια τῆς πόλεως καθισκίασαν, καὶ τὴν χαλκῆν Ἀθηνᾶν, καὶ τὴν ἐκ χρυσοῦ καὶ ἐλέφαντος.

ὥστε

ἐν τῇ τῆς πολιτείας ἤθει μιμήσεις, ὥστε τὴν Αἰγείδα, καὶ τὴν Μιλτιάδου, καὶ τῶν τότε λαμπρῶν οἰκίαν εἶτις ἄρα [1] οἶδεν ὑμῶν ὁποία ποτ' ἐστὶν, ὁρᾷ τ' ἐγγὺς οὐδὲν ξεμνοτέραν οὖσαν· ὁ γὰρ εἰς ἐπιδείξεις ἐπιτήδειος αὐτοῖς τὰ τ' πόλεως, ἀλλὰ τὸ κοινὸν αὔξειν ἕκαστος ὠφέλιμος ἦν. Ἐκ δὲ τῆς, τὰ μὲν Ἑλληνικὰ πιστῶς, τὰ δὲ πρὸς τοὺς θεοὺς δόσεβῶς, τὰ δ' ἐν αὐτοῖς ἴσως, διοικεῖν, μεγάλων εἰκότως ἐπιτήδευμα εὐδαιμονίας. Τότε μὲν δὴ τοῦτον τὸν τρόπον εἶχε τὰ πράγματα ἐκείνοις χρωμένοις οἷς εἶπον πρόσθεν· νυνὶ δὲ πῶς ὑμῖν ἔχει τῶν χρησίμων τῶν νῦν

1 εἶδεν.

## Σ Χ Ο Λ Ι Α.

ὅστε μηδενὶ τῶν ἐπιγιγνομένων] Οὐ περὶ τῶν οἰκοδομημάτων λέγει, ἀλλὰ τῶν ἀναθημάτων· καὶ γὰρ τούτων εἰσὶν ἴσως ὑπερβολαί· ἀλλ' αὔξει τὰ ἀναθήματα διὰ τὰς πράξεις ἐξ ὧν ἀνετέθησαν· ὁ γὰρ Μέγας Θεμιστοκλῆς Μαραθονίοις, ὁ μὲν ἐκ Σαλαμῖνος, ὁ δὲ ἐκ Πλαταιῶν ἀνεθέθησαν· τούτων δὲ τῶν καλλωπισμάτων ἐξῆλθεν ὑπερβολή.

οἰκίαν εἶτις] Εἶπεν τὸ αὐτὸ

2 Πλαταιέων.

λὲς τῶν οἰκιῶν καὶ τὸ ἀφανὲς, ὅτων εἶπεν, εἴτις 2 οἶδεν ὡς μὴ πολλοῖς γνωριζομένων διὰ τὸ ταπεινόν.

ἴσως,] Ἐπίσης.

ὠφέλιμος ὑπὸ τῶν χρηστῶν] Εἰρωνεία τὸ σχῆμα· τὸ δὲ εἰρωνείας, ἡ μὲν, εὐθὺς ἐπαγόμενον ἔχει τὸν ἔλεγχον διὰ τὸ λόγου, ὅστε δείκνυσθαι ὅτι εἰρωνεία ἐστὶν, ὅπερ ἐστὶ νῦν παρὰ τῷ Δημοσθένει· ἡ δὲ, διὰ τῶν πραγμάτων, ὅπερ ἐστὶ παρὰ

2 εἶδεν.



Digitized by Google

109264

νῦν τὰ πράγματα ἔχει, ἅπαντ' ὁμοίως, ἢ ὡδὶ ἁπλουστέρως; καὶ τὰ μὲν ἄλλα ἐᾶσαι πάνυ πολλ' ἂν ἔχων εἰπεῖν. Ἀλλ' ὅστις ἄπαυστος ὁρᾶτε ἐρημίας ἐπειλημμένος, καὶ Λακεδαιμονίων μὲν ἀπολωλότων, Θηβαίων δ' ἀχόλων ὄντων, τῶν δ' ἄλλων ὑδενὸς ὄντος ὃς ἀξιόχρεως ἦν τῶν πρωτείων ὑμῖν ἀντιτάξασθαι, ἐξὸν δ' ὑμῖν καὶ τὰ ὑμέτερα αὐτῶν ἀσφαλῶς ἔχειν, καὶ τὰ τῶν ἄλλων δίκαια βεβουλεῦσθαι, ἐπεστερήμεθε μὲν χώρας οἰκείας· πλείω δ' ἢ χί-

1 ἐᾶν

## ΣΧΟΛΙΑ.

φῶ Πλάτωνι· αἰνιττόμενος γάρ ὅτι ὑδὲν οἶδε, καὶ παρὰ σοῦ δέομαι μαθεῖν, ἐπαίρει 1 μετ' ὀλίγον τὸν λόγον διὰ τῶν πραγμάτων ἐλέγχων δ' ὃ δίκαιον ὅτι ἐξ ἀρχῆς εἰρωνία ἦν.

Ἀλλ' ὅστις ἄπαυστος ὁρᾶτε.] Ἀντιξιάζει τὴν πολιτείαν 2 τῶν περὶ τὸν Εὔβουλον ὁμοίως ἀπὸ τῶν τριῶν, τῶν τε Ἑλληνικῶν, καὶ τῶν ἰδίων, καὶ τῶν πολιτικῶν.

‡ καὶ Λακεδαιμονίων μὲν ἀπολωλότων,] Φοιβίδας στρατηγὸς Λακεδαιμονίων καθίσχε τὴν Καδμείαν, ἐξέσασι δὲ αὐτὸν οἱ Θηβαῖοι· ὁ δὲ παρόξυνε τοὺς Λακεδαιμονίους στρατεύεσθαι ἐπὶ Θηβαίους· ἐστράτευσαν, καὶ ἡγεῖτο αὐτῶν Κλεόμβροτος εἰς τῶν βασιλέων, Θηβαίων δὲ Ἐπαμινώνδας, καὶ ἡγέτο μάχη ἐπὶ 3 Κηφισσῷ ἐν ᾗ ἔπεσον χίλιοι Σπαρτιατῶν καὶ Κλεόμβροτος, καὶ τῶν ἐκ περιοικίδων πολὺς ἀριθμός· ἀπέτρεσαν δὲν οἱ νύμμαχοι, καὶ ἐτατεύνωσαι οἱ Λακεδαιμόνιοι.

ἀπολωλότων,] Ἐν Κνιδίοις.

ἀσχόλων ὄντων,] Διὰ τὴν Φωκικὸν πόλεμον.

ἀπεστερήμεθα] Περὶ Ἀμφιπόλεως λέγ· αὐτῶν γὰρ κτῆμα ἦν.

ἀντιλάβεσθαι] Εἰς αὐτὴν Ἀμφίπολιν.

1 μετὰ πολύ. 2 τὴν. 3 Κηφισ.

‡ οὓς

ἢ χίλια ἢ πεντακόσια τάλαντα ἀπολέσαμεν εἰς ὑμᾶς δέον· ὡς δ' ἐν τῷ πολέμῳ συμμάχους ἐκτησάμεθα, εἰρήνης ὄντος, ἀπολωλέκασιν ὅτοι· ἐχθροὶ δ' ἐφ' ἡμᾶς αὐτοὺς τηλικοῦτον ἠσκήκαμεν· ἢ φράσατω τις ἐμοὶ παρελθών, πόθεν ἄλλοθεν ἰσχυρὸς γέγονεν, ἢ παρ' ἡμῖν αὐτοῖς Φίλιππος. Ἀλλ' ὦ τᾶν, εἰ ταῦτα φαύλως, τάγ' ἂν αὐτῇ τῇ πόλει νῦν ἄμεινον ἔχει. Καὶ τί ἂν εἰπεῖν τις ἔχοι; τὰς ἐπάλξεις ἃς κονιῶμεν; ἢ τὰς οἰκίας

ΣΧΟΛΙΑ.

ὡς δ' ἐν τῷ πολέμῳ] Ἠρὸ τοῦ Φιλίστου Τιμόθεος ἔξω τυγχάνων ἐν τῇ Θράκῃ εἰλήσατο χρυσία ἄπερ τῶν ἱλληφι Φίλιστος, Πύδναι, καὶ Παλίδιον, καὶ τὰς ἄλλας· ἄγαν γὰρ εὐτυχὴς ὁ Τιμόθεος ἦν, ὥστε αὐτομάτως προσκτᾶσθαι τὰς πόλεις αὐτῷ.

ὡς δ' ἐν τῷ πολέμῳ] Κατὰ τὸν Συμμαχικὸν πόλεμον, ἀπέστησαν αὐτῶν Χῖοι, καὶ Ῥόδιοι, καὶ Βυζάντιοι, καὶ ἕτεροί τινες· πολεμοῦντες δὲ πρὸς αὐτοὺς, τοὺς μὲν κατεπολέμησαν, τοὺς δὲ οὐ δυνάμενοι ἔτι πρὸς αὐτοὺς πολεμεῖν, ὥστε σώζειν αὐτοῖς ἐμποιῆσαι τοὺς συμμάχους. Φασὶ δὲ φασίν, ὅτι καὶ ὡς προσκτησόμεθα μὴ πολέμῳ, καὶ

διὰ τὸν εἰρήνην ἀπολωλέκαμεν· τοῦ δὲ τοιούτου γενέσθαι τὸν εἰρήνην, αἴτιος Εὔβουλος ἔστω δικαίως τὰ πράγματα.

συμμάχους] Πυθαίους λέγει.

τηλικοῦτον] Φοβήσας αὐτὸς διὰ τὸ εἶναι τηλικοῦτον, πάλιν ἐπέσπασε τὸν θεατείαν, διὰ τὸ εἶναι, ἡμεῖς αὐτὸν ἠσκήκαμεν, εἰ δὲ αὐτοὶ αὐτὸν ἤσκησαν, ἐκεῖν' καὶ παθεῖν δυνήσεται.

Ἀλλ' ὦ τᾶν,] Ἀνθυποφορὰν λύει διὰ τὸ τὰ πολεμεῖσθαι Εὐβούλου δυξίσαι.

ταῦτα] Τὰ ἐκτὸς τῆς πόλεως.

ἐπάλξεις] Ταῦτα ἦν τὰ Εὐβούλου πολεμεῖσθαι, τὸ σώζεσθαι τὰς ἐπάλξεις λευκοχρίστους.

οὐδὲς ἂς ἀπισκευαζόμθ; καὶ κελεύας; ἢ λήρους; Ἀποβλέψαλε δὴ πρὸς τὰς τὰ τοιαῦτα πολιθυρμθύας, ὧν οἱ μθὺ ἐκ πλωχῶν [1] ταχὺ πλάσιοι γεγόνασιν, οἱ δ' ἐξ ἀδόξων ἔνλιμοι, ἔνιοι δὲ τὰς ἰδίας οἰκίας τῶν δημοσίων οἰκοδομημάτων ξεμνοτέρας εἰσὶ κἀλεσκευασμθύοι. Ὅσῳ δὲ τὰ τ' πόλεως ἐλάτλω γέγονε, τοσύτῳ τὰ τύτων ηὔξηλ). Τί δὴ τὸ πάνλων αἴτιον τύτων; καὶ τί δήπολε ἅπανλ εἶχε καλῶς τότε, ἢ νυῦ ὀκ ὀρθῶς; Οτι, τὸ μθὺ πρῶτον ἢ σεαυτὸς τολμῶν αὐτὸς ὁ δήμ@, ἁπάντης τῶν πολιθυρμθύων λεῦ,

[1] Deest ταχὺ.

ΣΧΟΛΙΑ

‡ ἢ λήρους;] Ταῦτα δὲ ἐπανήπτε Εὔβυλ@ σκιπόμενος τύτῳ χάριν διασύρῃ.

λήρους;] Οἱ μὲν Φασι τοὺς κρεμμθύους λέγειν, παρὰ τὸ λίαν ῥεῖν· οἱ δὲ τὰ λήρῳ ἄξια πράγματα, ἐκεῖθεν γὰρ ἢ ὁ Αριστοφάνης, παρὰ τὸ ληρεῖν ἐποίησε τὴν σύνθεσιν, δῆλον τινὰ ὄβρισαι, ἐν τῷ κρεωσχυτροληρικῳ. Αλλως. Δήρους λέγει αὐτιλῆ τινα, ἀπὸ τῦ λήρου τῦ φλυαρεῖν ἢ περιεῖναι.

ὧν οἱ μὲν ἐκ πλωχῶν] Αἰνίτλεται τοὺς περὶ τὸν Δημάδην, Εὔβυλον, Φρύνιχα, Φιλοκράτην, ἢ εἴ τινες ἕτεροι.

οἱ δ' ἐξ ἀδόξων] Οἱ περὶ Δημάδην.

τῶν δημοσίων οἰκοδομημάτων] Οὐ τῶν ὑπὸ Περικλέους Ι. τε κακείνων τῶν ἀγλρῶν γεγονότων, ἀλλ' ἐν ἄστει τῇ πόλει κἀλεσκευάσαν πρεσβεῖς, ἢ λέγων. ἴσως δὲ τῶν ἀναθημάτων λέγῃ· ἐν δὲ τῷ λόγῳ τύτῳ παροξύνει αὐτοὺς καὶ ἐπὶ τῶν ῥητόρων· φύσει γὰρ φθονερὸς τὸ τῶν ῥητόρων γένο@.

Τί δὲ τὸ πάνλων αἴτιον] Αἰτίας

[1] κακείνων τε,

παρὰ τὴν

λῶ, ἢ κύριος αὐτὸς ἁπάντων τῶν ἀγαθῶν· καὶ ἀγαπητὸν λῶ μοι δὲ ἔστω δήμου τῶν ἄλλων ἑκάστῳ καὶ τιμῆς ἢ ἀρχῆς καὶ ἀγαθοῦ τινος μεταλαβεῖν· νῦν δὲ τοὐναντίον, κύριοι μὲν τῶν ἀγαθῶν οἱ πολιτευόμενοι, καὶ διὰ τούτων ἅπαντα πράττειν· ὑμεῖς δὲ ὁ δῆμος ὑπενδυσάμενοι, καὶ ἀφηρημένοι χρήματα, συμμάχους, ἐν ὑπηρέτου καὶ πραγμάτων μέρει γεγένησθε, ἀγαπῶντες ἐὰν μεταδιδῶσι θεωρικῶν ὑμῖν, ἢ βοίδια πέμψωσιν ὕστερον· καὶ τὸ πάντων [1] ἀνανδρειόταλον, τῶν ὑμετέρων αὐτῶν χάριν πραγμάτων ἀφεῖλε.

1 ἀνανδρόταλον.

ΣΧΟΛΙΑ.

παράθεσις δ' ἔστι προλειπεῖν ποιεῖν αὐτοὺς τὰ δίκαια· διὰ γὰρ τοῦ λέγειν ὅτι διὰ τοῦ ἐξεῖναι ηὐτύχησεν, εἰς ζῆλον αὐτοὺς τούτων καθίστησιν.

ὑμεῖς, δὲ ὁ] Ἐμφατικὸν τὸ Ὑμεῖς ὡς ἂν εἰ ἔλεγεν, οἱ αὐτόχθονες ὑμεῖς, καὶ πάλαι τῆς Ἑλλάδος ἡγεμόνες, νῦν δὲ δοῦλοι τῶν ῥητόρων γεγένησθε· τὸ δὲ ἐκπεπευρισμένοι, τῶν πεύρων ἀφῃρημένοι· πεῦρα δὲ καὶ δύναμιν τῆς πόλεως καλεῖ τοὺς συμμάχους· ἐπειδὴ [1] δὲ τραχεῖα ἦν ἡ μεταφορὰ, ἐπήγαγε τὸ περιῃρημένοι· ἀπὸ μεταφορᾶς καὶ τοῦτο μέρους σώματος εἶπεν, ἐμμένων τῇ τροπῇ τοῦ ἐκπεπευρισμένοι.

1 Deest δὲ.

ἢ βοίδια διαπέμψωσιν ὕστερον] Τοῦτο εἰς Χάριτα· διαβὰς γὰρ εἰς τὴν Ασίαν ὡς Λρίβαζον τοῖς ξενικοῖς τραπεύμασι, πορθήσας Λάμψακον καὶ Σίγειον, ἔπεμψε Ἀθηναίοις βοῦς· ἃς διείλοντο καλὰ φυλάς.

ἢ βοίδια] Γράφεται καὶ [2] Βοηδρόμια· καὶ γάρ φασιν, ὅτε ἔπεμψε τὴν λείαν ὁ Χάρης, Βοηδρόμια ἦν· τὸ δὲ βοίδια, ὑποκοριστικόν ἐστιν ἐν συναιρέσει Ατλικῷ ἴδῃ.

καὶ τὸ πάντων ἀνανδρειόταλον,]

2 Βοηδρόμια.



Digitized by Google

λεῖς. Ὃ δ' ἐν αὐτῇ τῇ πόλει καθείρξαντες ὑμᾶς, ἐπάγουσιν ἐπὶ ταῦτα, καὶ τιθασσεύουσι χειρωθεὶς αὐτοῖς ποιοῦντες. Ἔστι δ' ὑδέποτ' οἶμαι μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν, μικρὰ καὶ φαύλα παιδεύοντας· ὅποι' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημα ἔχειν. Ταῦτα, μὰ τὴν Δήμητρα, οὐκ ἂν θαυμάσαιμι, εἰ μείζων εἰπόντι ἐμοὶ γνώσεται παρ' ὑμῖν βλάβη, τῶν πεποιηκότων αὐτὰ γνώσεσθε· οὐδὲ γὰρ παῤῥησίαν ὧδε πάντων αἰεὶ παρ' ὑμῖν

ΣΧΟΛΙΑ.

Ἐρέσθαι καὶ ἀνερωτᾶσθαι, ἵν' ᾖ καὶὰ 1 ἱστορίαν, ὅ τινες ἀληθήσαντες, τὴν τῶν φερομένων γραφὴν ἐποίησαν· τὸ δὲ προσοφείλειν χάριν εἶπεν, 2 ἐπειδὴ φασιν, ὅτι ἐτιμώρησαν ἐπὶ τῇ λύσει τὸν Χάρητα.

καθειρξάντες] Οἱονεὶ συγκλείσαντες καὶ μὴ ἐῶντες πολεμεῖν· αἴτια δὲ ὡς ἐπὶ δεδεσμευμένων θηρίων τὴν λέξιν· διὸ ἐπάγει καὶ τὸ τιθασσεύουσι, καὶ τὸ χειρωθέντες· ταῦτα γὰρ σαφῆ ἐπὶ θηρίων εἰώθαμεν ποιεῖν ἡμεροῦντες αὐτά· καὶ τὸ ἐπάγουσι δὲ ὡς ἐπὶ θηρίων εἶπεν· εἰώθαμεν γὰρ καὶ τὰ θηρία ὕστερον ἡμεροῦν, διὰ τῶν τοῖς σώμασι αὐτῶν ἐπάγειν, οἱονεὶ κολακεύοντες αὐτὰ διὰ τῆς χειροτριβίας. Ἄλλως. Ἐκ μεταφορᾶς τῶν ἀλόγων ζώων· διὸ καὶ τὸ τιθασσεύουσι, καὶ τὸ χειρωθέντες ἐπάγαγε.

Ταῦτα, μὰ τὴν Δήμητρα,] Ἐντεῦθεν οἱ ἐπίλοιποι πρακτικὰ σκευαστικὰς δὲ ὁ ῥήτωρ τὸν κίνδυνον βαλόμενος φυγεῖν, τοῦτό φησι.

τὴν Δήμητρα,] Ἐπειδὴ * ᾤδησε αὐτοὺς ὀργίλους γνωμοῦσι, διὰ τὸ πολλὰ αὐτοῖς ἐπιλιμῆσαι, καὶ διὰ τῆς Δήμητρος ὀμνῦσιν, ἤτοι τὴν Δήμητρα ἀποκαλοῦσαι εἰκὸς γὰρ ἦν ἡμέρως αὐτὰς ἀπεργάζεσθαι, τὴν καὶ

1 ἱστορίαν· οἱ τοιοῦ- 2 ἐπειδὴ φασὶν, ὅτι ἐτιμώρησαν.

ὑμῖν ἐστιν· ἀλλ' ἔγωγε ὅτι καὶ νῦν γέγοις θαυμάζω.

6. Εἰ δὲ καὶ ἄλλοι νῦν γ' ἔτι, ἀπαλλαγέντες τούτων τῶν ἐθῶν, ἐθελήσητε σωφρονεῖν, καὶ περιτιλεῖν ἀξίως ὑμῶν αὐτῶν, καὶ ταῖς θείαις ταῖς οἴκοι ταύταις εὐφημίαις ἐπὶ τὰ ἔξω τῶν ἀγαθῶν χρήσασθε, ἴσως ἂν ἴσως, ὦ ἄνδρες Ἀθηναῖοι, τέλειόν τι καὶ μέγα κλήσαισθε ἀγαθὸν, καὶ τῶν τοιούτων ληρημάτων ἀπαλλαγείητε, καὶ τοῖς ἀσθενοῦσι καὶ τῶν ἰατρῶν ζητίοις διδομένοις ἔοικε· καὶ νῦ

ΣΧΟΛΙΑ.

τῶν ἡμέρων σιτίων αἰτίαν γινομένην αὐτοῖς.

ἀλλ' ἔγωγε ὅτι καὶ νῦν] Ἐπειδὴ τὸ ἐν τῇ συνηθείᾳ κακῶς λεγόμενον, ὦ 1 χρῶνται τῷ ἔτι καὶ νῦν, 2 ἀλλὰ τῷ ὅτι καὶ νῦν ἀντὶ τούτου κέχρηται· διὰ δὲ τοῦ λέγειν ὅτι θαυμάζω ὑμᾶς, ὅτι καὶ γῦν νῦν διδάσκαλέ μοι παῤῥησίαν, ἐρωτᾷ αὐτοὺς τοῦτο ποιεῖν.

καὶ ταῖς περιουσίαις] Τουτέστι, ταῖς θειρικαῖς· ἀφορμαῖς δὲ, ταῖς ἀφοράσεσι· διὰ δὲ τοῦ ἴσως εἴρηκεν, ὡς ἐν ἐπανορθώσει τὸν λεγόμενον τὸν πρὸς σφᾶς ἐπιφέρων.

ἴσως ἂν ἴσως] Τεχνικὸς ὁ διπλασιασμός· οὔτε γὰρ τροφῆς ἀπεφήναλος ἀλαζονικὸν γὰρ τοῦτο καὶ ἐπισφαλές· οὔτε μόνη τούτων ἠκούσθη, ἀλλὰ διπλασιασμῷ κέχρηται πρὸς βεβαίωσιν καὶ ἀφίξεσιν, οὐδεὶς γὰρ συμβουλὴν φιλοθέλει δεχάζεσθαι τῆς δὲ χαριεντίσεως 3 ἀναλινόσεσθαι αὐτὸ ἐξηγοῦνται οὕτως, τὸ δεύτερον ἴσως ὡς ἐπανορθωτικὸν λαμβάνοντες τοῦ πρώτου ὡς ἂν εἰ ἔλεγεν· ἐπιθυμῶ ἐκεῖνο εἰπεῖν· ἴσως· μᾶλλον γὰρ ἀκριβῶς τέλειόν τι καὶ μέγα 4 κλήσασθε.

ἃ τοῖς ἀσθενοῦσιν] Οἰκείως τῇ παραβολῇ ἐχρήσατο, δοκοῦν· ὅτι τοσοῦτον ἄπεισι.

1 χρῆται, τὸ. 2 ἀλλ' ὅτι. 3 ἀπογι. 4 κλήσασθε.

‡ Οἰκεῖῶν

γὰρ ἐκεῖνα οὔτε ἰσχυὰ ἐλίθησιν, οὔτ' ἀποθνήσκειν ἐᾷ· καὶ ταῦτα ἃ νέμεσθε νῦν ὑμεῖς, ὅτε τοσαῦτά ἐσιν ὥσε ὠφέλειαν ἔχειν τινὰ διαρκῆ, ὅτ' ἀπογνόντας ἄλλό τι πρᾶτειν ἐᾷ· ἀλλ' ἔτι ταῦτα τιὰ ἑκάστε ῥαθυμίαν ὑμῶν ἐπαυξάνοντα. Οὐκοῦν σὺ μισθοφορὰν λέγεις; φήσει τις· ἀλλὰ τοῦτο μά γε τιὰ αὐτιὰ ξυτάξιν ἁπάντων, ὦ ἄνδρες Αθηναῖοι· ἵνα τῶν κοινῶν ἑκάστῳ τὸ μέρος λαμβάνων, ὅτου δέοιτο ἡ πόλις, εἰς τοῦθ' ἑτοίμως

## ΣΧΟΛΙΑ.

‡ Οὐκοῦν σὺ μισθοφορὰν λέγεις; φήσει τις] Ανθυποφορὰ, ἤτις μίαν τυγχάνει ἀντιτίποιθος καὶ ἀντιθέσεως· μείζων μὲν ἀντιπίποιθος, ἥτις δὲ ἀντιθέσεως· ἀλλὰ λέξει τις, μισθοφορεῖν ἡμῖν συμβουλεύεις; τοῦτο δ' ἦν Αθηναίοις ἐνδέξασθαι παχθές τε καὶ βαρύτερον.

Οὐκοῦν] Επειδὴ ἡ μισθοφορὰ τοῖς Αθηναίοις ἐφύετο, (οἰκεῖον γὰρ) ἐχρήσατο τῇ ἀνθυποφορᾷ ταύτῃ, δι' ἧς λύει καὶ ἀποκρύπτει τὸ ἀπρεπές· ἐπειδὴ δὲ εἶδεν ὅτι οὐκ ἂν πεισθεῖεν αὐτοὺς ἀποστῆναι τῶν θεωρικῶν, βούλεται αὐτοὺς τούτους μόνους ἀρκεῖσθαι, καὶ μὴ ἐᾶν δικάζειν ἢ συμβουλεύειν, ἢ ἐκκλησιάζειν. τούτεστιν, λαμβάνειν μισθόν. Αλλως. Ανθυποφορὰ τὸ σχῆμα, οἷον ἵν' ὡς δῆλοι λάβωμεν μισθὸν, καὶ ἔτως πολεμῶμεν, τοῦτο γὰρ ἠνίξατο εὐτάκτως, ὅτι δεῖ λαβεῖν τὰ θεωρικὰ εἰς μισθὸν πολέμου εἶτα, ἐπειδὴ ἰδόκει ἐφύβριστον εἶναι τὸ ὄνομα τῆς μισθοφορᾶς, μεταβάλλει, καὶ σύνταξιν αὐτὴν καλεῖ· (τῷ δὲ ἔργῳ καὶ τῷ ἀληθεῖ τὴν αὐτὴν καλεῖ καὶ σύνταξιν καὶ μισθοφοράν· καὶ γὰρ καὶ ἐν τῇ συντάξει μισθός ἐστιν ὁ παρεχόμενος·) ὡσανεὶ ἔλεξε, μισθοφορὰν καλῶ 2 οὐχ ἣν ὑμεῖς νομίζετε, παρεχομένην τοῖς δήλοις, ἀλλὰ τὴν παρεχομένην τοῖς ἐλευθέροις ὑπὲρ τοῦ λαμβάνειν καὶ ποιεῖν τὰ δίοντα. Τὸ δὲ ἀπόντων,

‡ ἐκκλησιάζειν.

2 ἣν οὐχ.



Digitized by Google

ἑτοίμως χρήσιμον ἑαυτὸν παρέχοι. Ἔξεσιν ἄγειν ἡσυχίαν; οἶκοι μένων εἰ βελτίων, ἢ δι' ἔνδειαν ἀνάγκη τι ποιεῖν αἰσχρὸν ἁπλλαγμένῳ. Συμβαίνῃ τι τοιοῦτον οἷον καὶ τὰ νῦν; στρατιώτης αὐτὸς ὑπάρχων ἀπὸ τῶν αὐτῶν τούτων λημμάτων, ὥσπερ ἐστὶ δίκαιον, ὥσπερ τὸ πατρίδι. Ἐστί τις ἔξω τῆς ἡλικίας ὑμῶν; ὅσα δεῖ ἀτάκτως νῦν λαμβάνων οὐκ ὠφελεῖ, ταῦτ' ἐν ἴσῃ τάξει λαμβανέτω· πάνυ ἐφορῶν καὶ διοικῶν ἃ χρὴ πράτ-

## ΣΧΟΛΙΑ.

ἀντὶ τῦ ὑπὲρ ἁπάντων τῶν πραγμάτων, καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ· βούλεται γὰρ, ἐπειδὴ ὀφῇ αὐτοὺς μὴ βουλομένους λῦσαι τὰ θεωρικὰ, λαμβάνειν αὐτὰ ἐν εἰρήνῃ, καὶ ἐν πολέμῳ ἀρχιῦσθαι, καὶ μὴ ζητεῖν πλεῖον τὰ ἐν πολέμῳ· κοινῶν δὲ φησι τῶν δημοσίων.

Ἔξεσιν ἄγειν ἡσυχίαν;] Πάνυ καλῶς τὴν ἡσυχίαν προσέταξε· περὶ ῥαθύμων γὰρ ἦν ὁ φθόγγος εἶτα, ἵνα μὴ μεμνημένῳ τῦ ὀνόματος τῦ πολέμου ἐπαχθὴς ὀφθῇ, ὐκ ὀνόμασεν, ἀλλ' εἶπεν, οἷον καὶ τὰ νῦν ὑπάρχῃ.

τὰ νῦν] Ἀντὶ τῦ 2 πολέμου ὥρα δὲ πῶς τὸ ὄνομα τῦ πολέμου ἀποκρύπτεται.

ἀπὸ τῶν αὐτῶν τούτων] Τωῖς, ἵνα μὴ φρὸς τοῖς θεωρικοῖς λαμβάνῃ μισθὸν στρατιωτικόν.

ὥσπερ ἐστὶ δίκαιον] Καὶ γὰρ ὁ παράνομον τὸ ὑπὲρ τῆς ἐναγκαμένης τοὺς πολίτας ἀναγκάζεσθαι.

Ἐστί τις ἔξω τῆς ἡλικίας] 3 Οἷον ἔξω τῆς τῶν νέων 3 ἡλικίας. καὶ ὧν ἀνδρῶν γεγόνασιν· εἰ μὴ ἄρα τελειοῦσας· λέγομεν οὖν ὅτι ἡλικίαν ἐκάλεσε ἐξαιρέτως τὴν τῶν δυναμένων ποιεῖν· ὁ τοίνυν τοιοῦτος ὢν ἔξω τῆς ἡλικίας, γέρων ἂν ὑπάρχοι.

ἀτάκτως νῦν λαμβάνων] Μὴ στρατευόμενος.

3 Οἷον νέων, ἀνδρῶν γεγόντων.

πολὺν

πράττειν. Ὅλως δὲ οὔτ' ἀφελών, οὔτε προσθεὶς, πλεῖ[1] μικρῶν, τὴν ἀταξίαν ἀνελὼν εἰς τάξιν ἤγαγον, τὴν πόλιν, τὴν αὐτὴν τῆ λαβεῖν, τῆ σῳθῆναι, τῆ δικάζειν, τῆ ποιεῖν τοῦθ' ὅ,τι καθ' ἡλικίαν ἕκαστος ἔχοι, καὶ ὅπου καιρὸς εἴη, τάξιν ποιήσας. Οὐκ ἔστιν ὅπου τοῖς μηδὲν ἐγὼ ποιοῦσι τὰ τῶν ποιησάντων εἶπον ὡς δεῖ νέμειν· οὐδ' αὐτὸς μοὶ λέγειν καὶ σχολάζειν καὶ ἀπορεῖν, ὅτι δὲ οἱ τῆ δεινῶ νικῶσι ξένοι, ταῦτα πιθάνεται. Ταῦτα γὰρ νυνὶ γίνεται· καὶ οὐχὶ μέμφομαι τὸν ποιητά τι τῶν δεόντων ὑπὲρ ὑμῶν· ἀλλὰ καὶ ὑμᾶς ὑπὲρ ὑμῶν αὐτῶν ἀξιῶ πράττειν ταῦτα ἐφ' οἷς ἑτέρους τιμᾶτε,

1 μικρὸν.

ΣΧΟΛΙΑ.

πλεῖν μικρῶν] Ἐπειδὴ συνεβούλευσεν αὐτοῖς μὴ λαμβάνειν μισθὸν στρατιωτικὸν, μηδὲ συμβουλευτικὸν, μηδὲ δικαστικὸν, ἀλλ' ἀρκεῖσθαι τοῖς θεωρικοῖς. Διὰ δὲ τῶν εἴκοσι μικρῶν, εὐχερεῖς τὴν καταφρονεῖν αὐτὸν τῶν παρασκευάζει.

ἀταξίαν] Τὴν τῶν πόλεων δηλονότι.

καὶ ἀπορεῖν] Ἀπορεῖν καλεῖ τὸ λαμβάνειν τὰς δύο ὀβολὰς καὶ ἀντὶ πολλῶν ἐν τῇ πολίτει.

οἱ τῆ δεινῶ] Οἷον οἱ τῆ Χάρητι.

οὐχὶ μέμφομαι] Ἐπαινῶ διαβάλλει τὸ ξενικὸν ἄνω· ξενικὴ γὰρ ἐπέχρησε ὁ Χάρης· ὡς ἂν εἰ ἔλεγεν ἐπαινῶ τὸν Χάρητα ποιοῦντα καὶ ποιοῦντα ἀεὶ καὶ μιᾶς ξένων· ἀλλ' ὅμως γε προσρίπτω τοὺς ἐκ τῶν πόλεως στρατιώτας.

τῆς

μᾶτε, κ᾽ μὴ ωροσχωρεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τ᾽ τάξεως, ἣν ὑμῖν οἱ πρόγονοι τῆς ἀρετῆς μ᾽ πολλῶν κ᾽ καλῶν κινδύνων κτήσαμενοι καθέλιπον. Σχεδὸν εἴρηκα ἃ νομίζω συμφέρειν· ὑμεῖς δ᾽ ἔλοισθε, ὅ,τι κ᾽ τῇ πόλει κ᾽ ἅπασι συνοίσειν ὑμῖν μέλλει.

## ΣΧΟΛΙΑ.

τῆς τάξεως,] Τάξιν πρῶτος καλεῖ, τὰ ὑγιαπεύοντα τῆς Ἑλλάδος κ᾽, ὅπερ εἰώθασαν, τὸ δι᾽ ἑαυτῶν εἰς τοὺς πολέμους ἐξιέναι.

Σχεδὸν εἴρηκα] Ἵνα μή τινες ἐπιλαγῶσιν αὐτῷ ὡς παραλείψαντός τινας συλλογίας, ἢ ῥαθυμήσαντος εἰς [2] ἅπαντ᾽ ἀκούσουσι, φησὶν εἴθηκε τὸ σχεδόν.

συνοίσειν] Πάλιν κ᾽ ἐνταῦθα, διὰ τῶ αὐτοῖς τὴν αἵρεσιν ἀποδιδόναι, τὴν περὶ τῶν δικαίων κρίσιν ἀποφεύγει.

1 ἀλλ᾽ ὅρα ἔρθαται.

2 ἅπασιν.

# ΛΙΒΑΝΙΟΥ ΣΟΦΙΣΤΟΥ

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ

# ΟΛΥΝΘΙΑΚΟΥ

## Πρώτος Λόγος.

ΟΛΥΝΘΟΣ ἦν πόλις ἐπὶ Θράκης· Ἑλληνικὸν δὲ ταύτῃ τῶν ἐνοικούντων τὸ γένος ἀπὸ Χαλκίδος τῆς ἐν Εὐβοίᾳ· ἡ δὲ Χαλκὶς Ἀθηναίων ἄποικος. Πολλοὶ δὴ πόλεμοι καὶ ἔνδοξοι τὴν Ὀλύνθιοι Ἀθηναίοις τε γὰρ ἐπολέμησεν ἄρχουσι τῶν Ἑλλήνων τὸ παλαιὸν, καὶ αὖθις Λακεδαιμονίοις· χρόνῳ τε εἰς δύναμιν προῆλθε μεγάλην, καὶ τῶν συνόντων πόλεων ἐκράτησεν. ἦν γὰρ ἐπὶ Θράκης πολύ τι γένος Χαλκιδικόν. Φιλίππῳ δὲ τῷ Μακεδόνων βασιλεῖ συμμαχίαν οἱ Ὀλύνθιοι ποιησάμενοι, καὶ πολεμοῦντες μετ' αὐτοῦ πρὸς Ἀθηναίους τοκαθάρχας, καὶ τοῦτο μὲν Ἀνθεμοῦντα παρὰ τῶν Μακεδόνων εἰληφότες, πόλιν ἀμφισβητήσιμον Μακεδόσι καὶ Ὀλυνθίοις, τοῦτο δὲ Πολίδαιαν, ἣν Ἀθηναίων ἐχόντων ἐκπολιορκήσας ὁ Φίλιππος, Ὀλυνθίοις παρέδωκεν, ὕστερον ἐπεστράτευσεν ἤρξατο τὸν βασιλέα, ὁρῶντες αὐτοῦ ταχεῖαν καὶ πολλὴν τὴν αὔξησιν, καὶ φύσιν δὲ τὴν γνώμην· ἀποδημοῦντα δὲ τηρήσαντες αὐτὸν, πέμψαντες πρέσβεις πρὸς Ἀθηναίους, καταλύσαντο τὸν πρὸς αὐτοὺς πόλεμον, ποιοῦντες τοῦτο παρὰ τὰς συνθήκας τὰς πρὸς Φίλιππον· συνέκειτο γὰρ καὶ κοινῇ πολεμεῖν πρὸς Ἀθηναίους, κἂν ἄλλό τι δόξῃ, κοινῇ σπείσασθαι. Ὁ δὲ Φίλιππος, πάλαι μὲν προφάσεως ἐπ' αὐτοὺς δεόμενος τότε δὲ ταύτῃ λαβὼν, ὡς τὰς συνθήκας παραβεβηκόσι, καὶ πρὸς τοὺς ἐχθροὺς τοὺς ἑαυτοῦ φιλίαν ἐσπεισμένοις, πόλεμον ἐπήνεγκεν· οἱ δὲ πεπόμφασι πρέσβεις εἰς Ἀθήνας περὶ βοηθείας· οἷς ὁ Δημοσθένης συναγορεύει, βοηθεῖν κελεύων τοῖς Ὀλυνθίοις· καὶ φησὶ τὴν Ὀλυνθίων σωτηρίαν, ἀσφάλειαν τῶν Ἀθηναίων εἶναι· σωζομένων γὰρ τῶν Ὀλυνθίων, ἐδέποτε ἥξειν εἰς τὴν Ἀττικὴν Φίλιππον, ἀλλὰ τοῖς Ἀθηναίοις ἐξουσίαν ἔσεσθαι πλεῖν ἐπὶ τὴν Μακεδονίαν, κἀκεῖ ποιεῖσθαι τὸν πόλεμον. ἃ δὲ ὑπὸ Φιλίππῳ γέγονε τὴ πόλις

ἡ πόλις αὕτη, ἀνεῖσθ τὴν ἐπὶ τοὺς Αθηναίοις ὀδὸν τῷ βασιλεῖ· 1 φησὶ δὲ μὴ δυσμάχητον εἶναι τὸν Φίλιππον ἕτως, ὡς ὑπείληπται· θαρσύνων ἐπ' αὐτὸν τοὺς Αθηναίους. Διείλεκται δὲ καὶ περὶ τῶν δημοσίων χρημάτων, συμβελεύων αὐτὰ ποιῆσαι στρατιωτικὰ ἀντὶ θεωρικῶν· καὶ τὸ ἔθος ὃ παρόπλον ἦν, ᾧ ἐχρῶντο οἱ Αθηναῖοι, ἀνάγκη σαφηνίσαι. Οὐκ ὄντος τὸ παλαιὸν θεάτρου λιθίνου παρ' αὐτοῖς, ἀλλὰ ξυλίνων συμπεπηγμένων ἱκρίων· καὶ πάντων καταλαμβάνειν τὸν τόπον σπευδόντων, πληγαί τε ἐγίνοντο καὶ ὠσμοὶ καὶ τραύματα. Τοῦτο κωλύσαι βουληθέντες οἱ πρεσβῦται τῶν Αθηναίων, ὠνητὰς ἐποιήσαντο τοὺς τόπους· καὶ ἔκαστον ἔδει διδόναι δύο ὀβολούς, καὶ καταβαλόντα θέαν ἔχειν. Ἵνα δὲ μὴ δοκῶσιν οἱ πένητες τῷ ἀναλώματι λυπεῖσθαι, ὅτι τὸ δημόσιον λαμβάνειν ἔκαστον ἐτάχθη τοὺς δύο ὀβολούς· ἐντεῦθεν μὲν ἦν τὸ ἔθος παλαιὸν· προῆλθε δὲ εἰς τοσοῦτον, ὥστε οὐκ εἰς τοῦτο μόνον ἐλάμβανον, ἀλλὰ ἁπλῶς πάντα τὰ δημόσια χρήματα διενέμοντο· ὅθεν καὶ περὶ τὰς στρατείας ὀκνηροὶ καθέστησαν· πάλαι μὲν γὰρ στρατευόμενοι, μισθὸν παρὰ τῆς πόλεως ἐλάμβανον· τότε δὲ, ἐν ταῖς θεωρίαις καὶ ταῖς ἑορταῖς, οἶκοι μένοντες, διενέμοντο τὰ χρήματα· οὐκ ἔτι ἐν ἤθελον ἐξιέναι καὶ κινδυνεύειν· ἀλλὰ καὶ νόμον ἔθεντο περὶ τῶν θεωρικῶν τούτων χρημάτων, θαύματον ἀπειλοῦντα τῷ γράψαντι μεταθεῖναι ταῦτα εἰς τὴν ἀρχαίαν τάξιν, καὶ γενέσθαι στρατιωτικά· διὸ ὁ Δημοσθένης εὐλαβῶς ἀπείλει τῆς περὶ τούτου συμβουλῆς, καὶ ὑπερωλήσας ἑαυτὸν, ὅτι σὺ γράφεις ταῦτα εἶναι στρατιωτικά; ἐπιφέρει, μὰ Δι' οὐκ ἔγωγε· τοσαῦτα μὲν περὶ τῶν θεωρικῶν. Διείλεκται δὲ ὁ ῥήτωρ καὶ περὶ πολιτικῆς δυνάμεως, ἀξιῶν αὐτὸς στρατεύεσθαι, καὶ μὴ ἀφεῖναι ξένων, ὥσπερ εἰώθεσαν, ποιεῖσθαι τὴν βοήθειαν, τοῦτο γὰρ αἴτιον εἶναί φησι τοῦ τὰ πράγματα ἀπόλλυσθαι.

1 φ. δὲ δύσμαχον —— Φίλιππον ἕτως ὑπ.

# ΔΗΜΟΣΘΕΝΟΥΣ

## ΟΛΥΝΘΙΑΚΟΣ ΛΟΓ. Γ.

ά. ΑΝΤΙ πολλῶν ἂν, ὦ ἄνδρες Ἀθηναῖοι, χρημάτων ὑμᾶς ἐλέσθαι νομίζω, εἰ φανερὸν ἦν τὸ μέλ-

1 Α.

### ΟΥΑΠΙΑΝΟΥ ΡΗΤΟΡΟΣ ΕΞΗΓΗΣΙΣ, ΚΑΙ ΣΧΟΛΙΑ, Εἰς τὸν ΟΛΥΝΘΙΑΚΟΝ.

ΑΝΤΙ πολλῶν ἂν,] Ἐξ ὅλης γίνεται τῶν ἀκροαλῶν, χρηστοῦ ὑποκειμένου πράγματος· καὶ ἔστι σαφὴς τάξις τῶν ἐξ ὑποθέσεως· σύντομον δὲ τὸ προοίμιον, διὰ τὴν τῶν πραγμάτων χρείαν· ἔστι δὲ ἠθικὸν ὁμοῦ καὶ πραγματικόν· τὸ μὲν γὰρ ἐν τῇ λέξει μέτριον καὶ ἰσχνόν, εὔκυκλον ποιεῖ τὸν ἀκροαλῆν, καὶ [1] ἠθικὸν ἀπεργάζεται τὸν λόγον· ἡ δὲ λύσις τῶν ἀντιστάσεων, καὶ ἡ σπερμαλικὴ τῶν κεφαλαίων ἐπαγωγὴ, πραγματικόν ποιεῖ τὸ προοίμιον· ἴδιον γὰρ μάλιστα Δημοσθένους καὶ Θουκυδίδου, μὴ μόνον ἀπὸ τῶν συναγωνιζομένων αὐτοῖς κεφαλαίων φαίνεσθαι τὰ προοίμια, ἀλλὰ καὶ τὰ ὑφορμοῦντα εὐθὺς ἐν ἀρχῇ θεραπεύειν· τεχνικῶς σφόδρα καὶ δεινῶς· ἀγαπᾶσθαι γὰρ τῶν ἀντιστάσεων καὶ τῶν ὑφορμούντων ἐν τῇ γνώμῃ τῶν ἀκροαλῶν, [2] ῥᾴδιον καλασκευάζειν τὸ λοιπὸν, τὰ μηδαμόθεν ἀντίῤῥησιν ἐπιδεχόμενα. Τὸ μὲν οὖν προοίμιον πλέκεται ἀπὸ τῶν συμφερόντων καφαλαίων καὶ τῶν δικαίων· καὶ γὰρ ὁ σύμβουλος λόγος, ἀπὸ τῶν αὐτῶν προσῆλθε· λυπεῖν δὲ ἦν αὐτὸν τὰ καλὰ τὰ χρήματα τὰ θεωρικά· διὸ καὶ ἐν ἀρχῇ λεληθότως καίαρσεναύξει τοὺς ἀκροαλὰς καὶ ἀφροντίστους χρημάτων· μεθ' ὑπερβολῆς δὲ ἐχρήσαλο τῷ νοήματι, οὐχ ἁπλῶς Χρημάτων εἶπὼν, ἀλλὰ καὶ Πολλῶν· εἰ γὰρ πολλῶν χρημάτων σύνηθες ὑμῖν καὶ ἀφροντίστως, πολλῷ μᾶλλον τῶν ὀλίγων. Νομίζω δὲ, εἶπε, καὶ ἐπίστασθαι, ὅτι τὸ μὲν, ἠθικὸν ἦν, εἰς συμπάθειαν ἄγει τὸν ἀκροαλῆν· τὸ δὲ, ἀπόφασιν ἔχει, φιλόνεικον αὐτὸν μᾶλλον καθίστησιν· ὁ δὲ νοῦς· εἴ τις ὑμῖν προείπειν χρήματά τε καὶ τὸ συμ-

1 παθητικόν.

2 Desunt ῥᾴδιον καλασκ.

φέρον

φέρον, εὐθὺς ἂν ἠρπάσαλε αὐλὶ πολλῶν χρημάτων τὸ συμφέρον. Ζηλεῖται δὲ, τί βελόμενο δεῖξαι, τῇ διανοίᾳ ταύτῃ εὐθὺς ἐχρήσαλο, τῇ συλκρινέσῃ τὰ χρήματα πρὸς τὸ συμφέρον καὶ λέγουσιν, οἱ μὲν, ἔπειδὴ ὑπωνεῖτο, ὡς διὰ τὰ λαβεῖν χρήματα παρὰ τῶν Ολυνθίων, λέγειν ἐλόμενο ὑπὲρ αὐτῶν, ἠθέλησε διὰ τοῦτο λῦσαι τὴν ὑπόνοιαν, διὰ τοῦ εἰπεῖν, ὅτι προκριτέον τῶν χρημάτων τὸ συμφέρον· αὕτη δὲ σεσοφισμένη ἐσὶν ἡ ἐξήγησις· ἐγὰρ εἶπεν, ὅτι ἐγὼ προκρίνω τῶν χρημάτων τὸ συμφέρον, ἀλλ' ὑμᾶς τοῦτο πιςεύειν ποιεῖ· ἄλλοι δὲ λέγουσιν, ἔπειδὴ ὑποψίαν εἶχεν, ὡς δεχόμενο τὰ χρήματα ἀπὸ τοῦ Περσῶν βασιλέως· ἔσι δὲ καὶ αὕτη ὁμοία ἡ ἐξήγησις· ἄλλοι δέ φασιν· ἔπειδὴ περὶ εἰσφορῶν αὐτοῖς μέλλει βουλὴ μικρὸν διαλέγεσθαι, τούτων δὲ τῶν λυπηρῶν, βελόμενο αὐτοὺς εὐθυμοτέρους ἐν τῇ ἀρχῇ καθεργάσασθαι, τὸ τοιοῦτον εἶπεν· ἡ δὲ ἀληθεςάτη αἰτία ἐσὶν αὕτη· ἐποιοῦντο χρήματα ἔχοντες γραμματικὰ οἱ Αθηναῖοι, ἰσχυρο αὐτὰ ποιησάμενοι θεωρικὰ, ὥςε λαμβάνειν ἐν τῷ θεωρεῖν ἕκαςον τῶν ἐν τῇ πόλει δύο ὀβολὸς, ἵνα τὸν μὲν ἵνα καλαςχῇ εἰς ἰδίαν τροφὴν, τὸν δὲ ἄλλον παρίχειν ἔχωσι τῷ ἀρχιτέκτονι τοῦ θεάτρου· δεῖ γὰρ εἶχον τότε θέατρον ἐκ λίθων καθεσκευασμένον· εἶτα βελόμενο ὁ Δημοσθένης ταῦτα μεταβαλεῖν εἰς γραμματικὰ, ἐκωλύσε νῦν καλέλαβεν ὁ πόλεμος ὁ πρὸς Φίλιππον, καὶ ἐυλαβούμενο εὐθὺς ἐν τῇ ἀρχῇ λυπηρὰ φανῆναι τοῖς Αθηναίοις εἴ γε ἤμελλεν αὐτοὺς ἀποςερεῖν τῶν δύο τούτων ὀβολῶν, τίνος μὲν ἐν τῇ ἀρχῇ τοῦτο λέγειν φανερῶς ἀναβάλλεται· τοῦτο δὲ ἑαυτοῖς ὑποτοιεῖν παρίχεν, διὰ τοῦ εἰπεῖν, ὅτι προκρίνειν ἐσὶ τὸ συμφέρον τῶν χρημάτων καὶ οὐκ εἶναι ἁπλῶς χρημάτων, ἀλλὰ καὶ πολλῶν, δηλῶν ὅτι εἰ πολλῶν χρημάτων μέλλουσι καλαφρονεῖν διὰ τὸ συμφέρον, πόσῳ γε μᾶλλον ἂν ἂν ζημίωσιν ὑπερβολὴν δύο ὀβολῶν ἕνεκεν τοῦ λυσιτελοῦς· ἴσως δὲ τὰ χρήματα ταῦτα τὰ δημόσια θεωρικὰ ἐποίησεν ἐξ ἀρχῆς ὁ Περικλῆς δ' αἰτίαν τοιαύτην· ἐπειδὴ πολλῶν θεωμένων καὶ γασιαζόντων διὰ τὸν τόπον, καὶ ξένων καὶ πολιτῶν, καὶ λοιπὸν τῶν πλησίον ἀγοραζόντων τὰς τύπας, βελόμενο ἀρέσαι τῷ δήμῳ καὶ τοῖς πένησιν, ἵνα ἔχωσι καὶ αὐτοὶ πόθεν ἀνεῖσθαι τύπας, ἔγραψε τὰ θρασυδεύόμενα χρήματα τῇ πόλει γενέσθαι πᾶσι θεωρικὰ τοῖς πολίταις· εἶτα ἐπιχειρήσαιο Απολλοδώρου τινὸς πάλιν αὐτὰ ποιῆσαι γραμματικὰ, βελόμενο Εὔβουλο ὁ πολίτευόμενο δημαγωγὸς ὤν, πλείονα εὔνοιαν ἐπισπάσασθαι τῷ δήμου πρὸς ἑαυτὸν, ἔγραψε νόμον τὸν περὶ τοῦ διωβελίου, θανάτῳ ζημιοῦσθαι εἴ τις ἐπιχειροίη μεταποιεῖν τὰ θεωρικὰ γραμματικά· διὸ ὀβάκις ἐν τοῖς Φιλιππικοῖς μέμνηται αὐτῶν ὁ Δημοσθένης, συμβουλεύων μόνον, ὥςε αὐτὰ λυθῆναι, ἐ μείζου καὶ ἐγγράφως λέγων, ὅπερ ἦν ἐπικίνδυνον· ὅμως ὅκ ἔπεισεν αὐτὸς λῦσαι, εἰ μὴ ὕςερον αὐτοὶ ἀναγκαζόμενοι τῷ πολέμῳ, τοῦτο πεποίηκασι.

ὑμᾶς;] Εμφασιν ἔχει πολλὴν ἡ λέξις· τὸ Ὑμᾶς, ὡσανεὶ ἔλεγεν, Ὑμᾶς, ὃς μὴ εἶλε πλοῦτο ὁ Περσικὸς, ἐ Λακεδαιμόνιοι μεγάλα ὑπισχνέμενοι· τὸ δὲ Νομίζω, ὡς ἤδη ἐν τοῖς Σοφιςικοῖς εἴρηται, καὶ τὸ δοκεῖν, καὶ τὰ τοιαῦτα, ἐ πάνλως ἐπὶ ἀμφιβόλου τάτ' ἔσιν· οἱ παλαιοὶ, ἀλλὰ πολλάκις καὶ ἐπὶ

μέλλον ζωννοίσειν τῇ πόλει, ἀφὶ ὧν νυνὶ σκοπεῖτε. Ὅτε τοίνυν τοῦθ' ὕτως ἔχει, προσήκει προθύμως ἐθέλειν ἀκύειν τῷ βουλομένῳ συμβουλεύειν. Οὐ γὰρ μόνον εἴ τι χρήσιμον ἐσκεμμένος ἥκει τις, τοῦτ' ἂν ἀκούσαντες λάβοιτε· ἀλλὰ κὴ τὴ ὑμετέρας τύχης ὠφελαμβάνω, πολλὰ τῶν δεόντων ἐκ τοῦ ῥᾳδιαχρῆμα

ΣΧΟΛΙΑ.

τῷ ἀληθεύειν· ὕτως ὧν κὴ τὸ νομίζω εἰρῆσθαι ἀντὶ τοῦ κρίνω κὴ πιστεύω.

Ὅτε τοίνυν] Ἡ παρασκευὴ τοῦ προοιμίου καλὰ ἀποσιώπησιν· ἐ γὰρ ἐῤῥήθη· μετῆλθε δὲ ἐφ' ἑτέραν ἔννοιαν, τὴν πρώτην ἀφεὶς ἀπαλάσκευον· αὕτιον δὲ τούτου τὸ τῆς προθυμίσεως ἔνδοξον· ἔχει γὰρ δὴ παρὰ τῆς κοινῆς ἐννοίας ὁμολογούμενον, ὅτι προτιμῶσιν οἱ ἄνθρωποι τὸ συμφέρον χρημάτων· ἔνδοξοι δέ εἰσι προθυμίσεις, ὧν ἡ περιμένη τὴν ἀπόδειξιν ὁ ἀκροατὴς· κὴ λαμβάνη ταύτην ἀπὸ τῆς δόξης τῶν Ἑλλήνων, ἢ ἀπὸ τῆς κοινῆς ἐννοίας· ἔστι δὲ ὅτι κὴ ἀπὸ τῶν νόμων.

προσήκει προθύμως] Παρίσωσις καλὰ τὴν ἀρχήν.

ἐθέλειν ἀκούειν] Πάνλας προτρέπει λέγων, ἵνα διὰ τούτου κὴ τὸν φθόνον φύγῃ, ὡς μὴ βουλόμενος μόνος κὴ ἵνα εἰ τὴν αὐτῇ συμβουλὴν προείλοιτο, πρείττων ἀπάντων τῶν συμβούλων ἀποδειχθῇ.

Οὐ γὰρ μόνον] Τὸ σχῆμα ἐξ ἀναιρέσεως συμπλεκτικόν.

λάβοιτε] Ὁριστικῶς δεῖ ἐκλαβεῖν τὸ λάβοιτε, ἴν' ᾖ, ὅτι ὠφείλετε λαμβάνειν I μόνα τὰ ἀπὸ τοῦ ἐσκεμμένου συμβουλεύοντος, ἀλλὰ κὴ ἀπὸ τοῦ αὐτοσχεδιάζοντος· ἐπίρρησαι γὰρ κὴ τούτῳ πολλὰ τῶν δεόντων εἰκότως, παρὰ τῆς ὑμετέρας εὐτυχίας.

ἀλλὰ καὶ] Ἐπειδὴ μέλλει δυνατὸν παλεῖν τὸν Φίλιππον, διὰ τὸ εἶναι εὐτυχῆ, προστοιεῖται ὁ ῥήτωρ ἀφελῶς εὐτυχίαν Ἀθηναίοις μαρτυρεῖν, ἵνα, ἐκεῖνοι γενόμενοι, ἔχῃ αὐτὸς προειθισμένους ἀκούειν, ὅτι κὴ αὐτοὶ δύναμαι πράξαι τὰ δέοντα.

τῶν δέοντων] Δέοντα καλῶμεν, οὐ τὰ συμφέροντα μόνον, ἀλλὰ

I Deest μόνα.

Digitized by Google

χρῆμα ὑμῖν ἂν ἐπελθεῖν εἰπεῖν· ὡς ἐξ ἀπάντων ῥᾳδίαν τὴν ξυμφέρουσαν ὑμῖν αἵρεσιν ἡμᾶς.

β'. Ὁ μὲν οὖν παρὼν καιρὸς, ὦ ἄνδρες Ἀθηναῖοι, μονονυχὶ λέγει φωνὴν ἀφιεὶς, ὅτι τῶν πραγμάτων ὑμῖν ἐκείνων αὐτοῖς ἀνιλητέον ἐστὶν, εἴπερ ὑπὲρ σωτηρίας αὐτῶν φροντίζετε. Ἡμεῖς δ' ἂν

## Σ Χ Ο Λ Ι Α.

καὶ τὰ περίπολα.

ἐξ ἁπάντων] Καὶ τῶν ἐσκεμμένων, καὶ τῶν παραχρῆμα λεχθέντων.

Ὁ μὲν οὖν παρὼν] Ἀκόλουθον τῷ προτέρῳ προοιμίῳ τὸ δεύτερον· ἐκεῖ γὰρ προκαλισάμενος τοὺς βουλομένους συμβουλεύειν, νῦν ἐκ περιουσίας τὸν καιρὸν σύμβουλον εἰσήγαγεν, ὥσπερ ἐνδεικνύμενος ὅτι, τί μὲν ῥητέον εἰ ῥήτορες ἄδηλον, ὁ μέντοι καιρὸς, τόδε τὴν γνώμην ἀποφαίνεται· καὶ ἔστιν ὥσπερ ἐκ προσωποποιίας ὁ λόγος· διαπέπαικε δὲ ἡ παρὰ τοῖς ποιηταῖς, ὅτι ἐκεῖνοι μὲν αὐτὸν τὸν καιρὸν πεπλάσι φθεγγόμενον, ἢ τὸν ὕπνον, ἢ μέτεστι φωνῆς· ὁ μέντοι ῥήτωρ τὴν ἐκείνου φωνὴν ὑποκρίνεται, τὸ σαθρὸν τῷ λόγῳ παλαιουργάζων.

ἐκείνων] Αὐτὶ τοῦ, ὑμῖν τοῖς Ἀθηναίοις αὐτοῖς, ἀνιλητέον, καὶ ἀντιστοιχεῖον ἐστὶ τῶν ἐν Ὀλύνθῳ πραγμάτων.

δὲ] Τὸ ἐπαχθὲς βουλόμενος φεύγειν, καὶ ἑαυτὸν ἐμιξε τῇ ἐγκλήσει, Ἡμεῖς εἶπον, καὶ οὐχ Ὑμεῖς· τοῦτο δὲ τὸ σχῆμα λέγεται ὑποσώπησις, ὅταν μέλλῃ τις ἐπιφέρειν τραχύ τι καὶ λοιδορίας ἐχόμενον, μὴ βούληται δὲ διὰ τὸ ἐπαχθὲς αὐτὸ λέγειν, ἀλλὰ δι' αἰνιγμάτων σημαίνῃ· καὶ γὰρ ἐνταῦθα βουλόμενος λέγειν, ὅτι καὶ ὁ μὲν καιρὸς πάλαι ποιεῖ, παροξύνων ἡμᾶς ἐπὶ τὴν σωτηρίαν τῶν πραγμάτων· ἡμεῖς δὲ ῥαθυμοῦμεν καὶ οὐ προσέχομεν αὐτοῖς, ἀλλὰ θέαις τε καὶ τρυφαῖς σχολάζομεν· ὑπεσιώπησεν μὲν τοῦτο, διὰ τὸ δυσχερές· ἐπήγαγε δὲ, ἐκ οἵου ὄντος τινὰ μοι δοκοῦμεν ἔχειν τρόπου πρὸς αὐτά· διαφέρει δὲ τῆς ἀποσιωπήσεως, ὅτι ἐκείνη μὲν σαφηνείας ἀποσιωπᾷ τὸ πρᾶγμα, ὅσπερ τὸ, οὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν· ἡ δὲ ὑποσώπησις, αἰσχύνεταί τι, ὡς ἐνταῦθα· εἴη ἂν οὖν τοῦτο τὸ κῶλον συμπέρασμα τοῦ προοιμίου,

ὴ οἶδ' ὅν τινά μοι δοκεῖμ ἔχειν τρόπον πρὸς αὐτά. Εσι δὴ, τά γ' ἐμαὶ δοκεῖλα, ψηφίσαδς μὲν ἤδη τὲν βοήθειαν, ἢ ωδασκευάσαδς τὲν ταχίσλν, ὅπως ἐιθένδε βοηθήσηλε, ἢ μὴ πάθηλε ταὐτὸν, ὅπερ καὶ πρότερον· πρεσβείαν δ' πέμπειν, ὅτις ταῦτ' ἐρεῖ, ἢ παρέσαι τοῖς πράγμασιν. ὡς ἔσι μάλισα τᾶτο δέον, μὴ πανᾶργον ὢν, ἢ δεινὸς ἄνθρωπον πράγμασι χρῆδς, τὰ μὲν εἰκὼν, ἡνίκα ἂν τύχῃ, τὰ δ' ἀπειλῶν, (ἀξιόπισον δ' ἂν εἰκότως φαίνοιτο) τὰ δ' ἡμᾶς διαβάλλων, ἢ τὲν ἀπουσίαν τὲν ἡμε-

## ΣΧΟΛΙΑ.

καλασκευῆς ὅσης, τᾶ, εἴπερ ὑπὲρ σωτηρίας αὐτῶν φροντίζελε.

Εσι δὴ,] Ἀρχὴ τῶν κεφαλαίων ἐντεῦθεν· προσάπτει δὲ τὸ συμφέρον τᾷ δυναλᾷ. Ἄλλως. Γνώμης ἀπόφασις· ἔσι δὲ ἐντεῦθεν ἀρχὴ ἢ εἰσβολὴ τᾷ συμφέροντος.

τὲν ταχίσλν,] Ἀντὶ τᾷ ταχέως.

ἐνθένδε] Εἰς τὴν Ὀλυνθόν.

ὅπερ ἢ πρότερον·] Καιρᾷ γὰρ ὁμοίᾳ περί τινων ἄλλων παρεσκεύαζον, ἠμελήκασι.

ταῦτ' ἐρεῖ,] Ὅτι μέλλουσιν οἱ Ἀθηναῖοι ἐλθεῖν ἢ βεηθῆσαι ὑμῖν, ἢ διὰ τ' παρουσίας παραμυθήσεσθαι αὐτὲς, ἢ μὴ χώραν σχῇ ὁ Φίλιππος ἀπαλῆσαι αὐτὲς, ἀντὶ ἐνισχύειν τῆς βοηθείας, ὑπαρχώσης αὐτοῖς ἐκεῖσι τῆς πρεσβείας.

καὶ παρέσαι] Ἤγουν, ἡ αὐτὴ ἄγγελος εἴη τῆς βοηθείας, καὶ βοηθός.

ὠανᾶργον] Φίλιππον.

εἰκὼν] Αὐτοῖς.

τρέπεσθαι] Τὸ βέβαιον τῶν Ὀλυνθίων, ἐδήλωσεν, ὅτι ἢ μὴ βουλομένους αὐτοὺς τρέψεται ἢ παρασπάσεται· εἴληπται δὲ ἡ λέξις ἀπὸ τῶν

ἡμελέραν, τρέψηται καὶ παρασασήται τι τῶν ὅλων πραγμάτων.

γ'. Οὐ μὴν ἀλλ' ἐπιεικῶς, ὦ ἄνδρες Ἀθηναῖοι, τῦθ' ὁ δυσμαχώταλόν ἐσι τῶν Φιλίππε πραγμάτων, καὶ βέλτισον ἡμῖν. Τὸ γὰρ εἶναι πάντων ἐκεῖνον ἕνα ὁπλα κύριον καὶ ῥητῶν καὶ ἀπορρήτων, καὶ ἅμα στρατηγὸν, καὶ δεσπότην, καὶ ταμίαν, καὶ πανταχῦ αὐτὸν παρεῖναι τῷ στρατεύματι, πρὸς μὲν τὸ τὰ τοῦ πολέμε ταχὺ καὶ καιρὸν πράττεσθαι, πολλῷ πρόσεχει· πρὸς δὲ τὰς καταλλαγὰς, ἃς ἂν ἐκεῖνῳ ποιήσηται ἄσμενῳ πρὸς Ὀλυνθίους, ἐναντίως

ΣΧΟΛΙΑ.

τῶν καταφευγόντων εἰς τὰς βωμὸς, καὶ βία ι ἀποσπωμένων· ἢ ὡς, ἐπὶ μέλους τινὸς σώματος, ἵνα δείξῃ τὴν ἰσότητα τῶν Ὀλυνθίων· τὸ δὲ τὶ, ἐνταῦθα ἀντὶ τῦ μέγα κεῖται· ὥσπερ τὸ, δύναμίν τινα κεκτήμεθα· τὸ τινὰ γὰρ ἀντὶ τοῦ μεγάλην.

ἀλλ' ἐπιεικῶς] Τὸ ἐπιεικῶς, ἀντὶτῦ πάνυ καὶ λίαν.

δυσμαχώταλον] Διὰ τὴν φανερ γίαν.

καὶ βέλτιστον] Τοῦτο τὸ σχῆμα λέγεται παρὰ προσδοκίαν, ὅταν τὸ αὐτὸ πρᾶγμα καὶ φοβερὸν καὶ συμφέρον ᾖ.

παντ αχῆ] Ὅτε ἂν βελτιθείη.

πρὸς μὲν τὸ τὰ] Ἐν μὲν γὰρ ταῖς δημοκρατίαις, τῷ μὲν ἀρίσει ὁ πολέμ, τῷ δ' ἔκ ὁ δὲ βασιλεὺς εἷς ὤν, ῥᾳδίκα ἂν βελτιῦ πολεμεῖν, οὐδένα τὸν ἀναβιβάσεσιν ἔχ.

ἀναβίβασ ἔχει] Αὐτὸ, φησὶ, τὸ δύσμαχον αὐτῦ καὶ δυσκαταγώνισον ἀναβιβᾶται πρὸς τ γένεσθαι αὐτῷ τὴν Ὀλυνθίας φίλης· εἶτ' ἐπάγει τὴν αἰτίαν.

ι ἀποσπωμένων, ἤγουν.

τίως ἔχει. Δῆλον γὰρ ἐστι τοῖς Ολυνθίοις, ὅτι νῦν μὲν περὶ δόξης, οὐδ' ὑπὲρ μέρους χώρας πολεμοῦσιν, ἀλλ' ἀνασάσεως καὶ ἀνδραποδισμοῦ τοῦ παρ' ἐμοῦ· καὶ ἴσασιν ἃ τ' Αμφιπολιτῶν ἐποίησε τοὺς Ἀθηναίους τῆς πόλεως, καὶ Πυδναίων τοὺς παδεξαμένους. Καὶ ἄλως ἄπιστον οἶμαι ταῖς πολιτείαις ἡ τυραννὶς, ἄλλως τε καὶ ὅμορον χώραν ἔχουσι.

δ'. Ταῦτ' οὖν ἐνθυμουμένους ὑμᾶς, ὦ ἄνδρες Αθηναῖοι,

## ΣΧΟΛΙΑ.

Δῆλον γάρ ἐστιν] Ανθιστρόφη.

ὅτι νῦν] Οἷον ἡ περὶ τοῦ ἡττηθῆναι μόνον αὐτοὺς παρὰ Φιλίππου, ἀλλ' ὑπὲρ τοῦ μὴ ἐκβαλεῖν ἐκεῖθεν καὶ ἀνδραποδίσασθαι, ὅ ἐστι δῆλος ποιῆσαι.

πολεμοῦσιν] Οἱ Ολύνθιοι.

ἀλλ' ἀνασάσεως] Ηγουν, ὑπὲρ τοῦ μὴ ἀνάλωτον ὑπὸ τούτου γενέσθαι τὴν σφῶν πόλιν, καὶ δῆλος αὐτὸς· τὸ γὰρ οἰκεῖον συμφέρον οὗτος ζητῶν, ταῦτα σπουδάσει ποιῆσαι.

καὶ ἴσασιν] 1 Αποδείκνυσι τοὺς Ολυνθίους μὴ πιστεύειν αὐτῷ μηδὲ βούλεσθαι προΐσθαι ἑαυτοὺς αὐτῷ. Τί δὲ, ὅτι εἰσί τινες προδόται παρὰ τοῖς Ολυνθίοις, οἵ τινες 2 ἕτοιμοι ἔσονται προδοῦναι τὴν πόλιν; ὡς οὐδὲ τούτους 3 ἐνδέχεται ποιῆσαι· ἴσασι γὰρ ὅσα ἐκτίσησιν εἰς τοὺς προδότας τῶν Αμφιπολιτῶν τοὺς ἐποικίσαντας τὰς πύλας· εἰσελθὼν γὰρ αὐτοὺς πρώτους ἐφόνευσε, λέγων, εἰ τῶν ἰδίων πολιτῶν ἐκ ἐφείσατο, πόσῳ γε μᾶλλον ἐμὲ μᾶλλει περὶ ἐμοῦ ὕστερον μνησθήσεσθαι.

αὐτῷ] Τῷ Φιλίππῳ.

καὶ Πυδναίων] Πύδνα, πόλις Μακεδονίας· αὕτη ἀπέστη τοῦ ὑπακούειν Φιλίππῳ, καὶ ἐπολέμησε κατ' αὐτοῦ· καὶ περὶ ταύτην τειχίόν τι συνέβη· πρόκειται γάρ τινες προδεδώκασιν, εἶτα ὕστερον μνησθεῖς ὡς ἂν αὐτῶν φείσαιτο, ἔφυγον ἐπὶ τὸ Αμύντιον ἱερὸν τοῦ πατρὸς αὐτοῦ· κολακεύοντες γὰρ αὐτὸν πρώην οἱ

1 Deest Αποδείκνυσι. 2 Deest ἕτοιμοι. 3 ἀνέχεται ποιῆσαι.

Πυδ-

Αθηναῖοι, καὶ τἆλλ' ἃ προσήκει πάντα ἐνθυμεμφῶς, φημὶ δεῖν ἐβελῆσαι καὶ παροξυνθεῖσαι, καὶ τῷ πολέμῳ προσέχειν, εἰπέρ πού τε, καὶ νῦν· χρήματα εἰσφέρεσθαι προθύμως, καὶ αὐτὰς ἐξισοῦσθαι, καὶ μηδὲν ἐλλείπεσθαι. Οὐδὲ γὰρ λόγος, οὐδὲ σκῆψις ἔθ' ἡμῖν τῷ μὴ τὰ δέοντα ποιεῖν ἐθέλειν ὑπολείπεται· νυνὶ γὰρ ὁ πάντες ἐθρυλλεῖτε, ὡς Ὀλυνθίους ἐκπολεμῶσαι δεῖν Φιλίππῳ, γέγονεν αὐτόματον, καὶ ταῦ-

## ΣΧΟΛΙΑ.

Πυθαῖοι, ἱερὸν αὐτῷ ἐποίησαν· ἀλλ' ἀναστήσας αὐτὰς ὅρκους ἐπὶ τὸ μηδὲν ποιῆσαι, ἐξελθόντας ἀπέλιπε.

Καὶ ὅλως] Εἰπὼν τὰ μερικὰ παραδείγματα, τῷ καθολικῷ τῆς γνώμης ταῦτα ἐπισφραγίζεται.

ἄπιστον] Εναντία γάρ ἐστιν· αἱ μὲν γὰρ ἐκ ἀρχοντα ἔχουσιν, ἀλλ' ἴσι δημοκρατίαι· ἡ δὲ μοναρχίαν ἐπαγγέλλεται.

καὶ ὅμορον] Αὐτὸ γὰρ τὸ πλησιάζον τῷ τόπῳ, ὥσπερ εἴωθε, τὰ ἐγκλήματα τίθησι.

Ταῦτ' ἂν] Καλασκευὴ τῷ δευτέρῳ προοιμίῳ.

καὶ τἆλλ' ἃ προσήκει] Ωσπερ ἂν εἰ ἔλεγε τὰ τῶν πραγόντων διηγήματα, ὅτι ἔθος ἔχει ἐκεῖνος σέβεσθαι τοὺς κινδυνεύοντας.

αὐτοὺς ἐξισοῦσθαι,] Τὰς Αθηναίους, καὶ μὴ ξενικῇ δυνάμει πιστεύειν· ταῦτα δέ φησι τεχνικῶς. Ἵνα εἰ συμβῇ ἡττηθῆναι, ἔχῃ ἀπολογίαν τὸ ἐλλιπεῖν τινα ὧν συνεβούλευσαν.

Οὐδὲ γὰρ λόγος,] Λόγος ἡ ἀπολογία· σκῆψις δὲ ἡ πρόφασις, ἢ ἀφορμή.

ἐθρυλλεῖτε,] Πρῶτον μὲν τῷ περιληπτικῷ πάντας εἰς συγκαθίσιν ἤγαγεν, ὃν αὐτὸς, βούλεται· δεύτερον δὲ, ἐθρυλλεῖτε εἶπεν, τὴν τῶν μειλανοίας πρόφασιν ἀνήρηκεν· ἐ γὰρ κρύφα, ἐδεῖ ἐ ἀπορρήτῳ περὶ τούτων ἐλέγομεν, ἀλλὰ πάντες βοῇ καὶ θορύβῳ χρώμενοι, τὸν Ολυνθίους ἐσπουδάζομεν ἐχθροὺς καθιστῆσαι τῷ Φιλίππῳ· τοῦτο γὰρ τὸ ἐθρυλλεῖτε δύναται.

ταῦτα ὡς ἀν ὑμῖν μάλιστα συμφέροι. Εἰ μὲν γὰρ ὑφ' ἡμῶν πειθόμενοι ἀνείλοιτο τὸν πόλεμον, σφαλερὰ σύμμαχα, καὶ μέχρι τοῦ ταῦτ' ἂν ἐγνωκότες ἦσαν ἴσως· ἐπειδὴ δ' ἐκ τῶν πρὸς αὐτὸν ἐγκλημάτων μισοῦσι, βεβαίαν εἰκὸς τὴν ἔχθραν αὐτοὺς, ὑφ' ὧν φοβοῦνται, καὶ πεπόνθασιν, ἔχειν. Οὐ δεῖ δὴ τοιοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, παραπεπλωκότα καιρὸν ἀφεῖναι, μηδὲ παθεῖν ταὐτὸ, ὅπερ ἤδη πολλάκις πρότερον πεπόνθατε. Εἰ γὰρ, ὅθ' ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες, καὶ παρῆσαν Ἀμφιπολίων Ἱέραξ, καὶ

## ΣΧΟΛΙΑ.

ἀνείλοιτο] Ἀντὶ τοῦ ἀνέλαβον.

ὡς δεῖ δὴ] Συγχήσας τὴν γνώμην τῶν Ὀλυνθίων, καὶ βεβαίους συμμάχους ἀποδειξας, ἕρμαιον ποιεῖται τῶν Ἀθηναίων τὸ πρᾶγμα, καὶ καιρῷ τινος εὐτυχίαν καλεῖ· τὸ γὰρ παραπεπλωκότα, τῶν τυχαίων ἐστὶ καὶ τῶν ἐξ ἀπροσδοκήτου συμβαινόντων.

Εἰ γὰρ, ὅθ' ἥκομεν] Παροξύναι βούλεται, ἀναμιμνήσκων τῶν πρεσβέων, ἐν οἷς ἐζημιώθησαν μὴ χρησάμενοι τοῖς καιροῖς· τὸ σχῆμα καλὰ συνεφθὴν. Θηβαῖοι πολεμοῦντες Λακεδαιμονίοις ἐν Λεύκτροις τῆς Βοιωτίας, ἐνίκησαν αὐτοὺς κατὰ κράτος· ὅθεν καὶ εὐθὺς διέβησαν ἐπὶ τὴν Εὐβοίας, ὡς δῆθεν βουλόμενοι ταύτην χειρώσασθαι· τὸ δ' ἀληθὲς, ἵνα ταύτην λαβόντες καὶ καλὰ τῶν Ἀθηναίων χωρήσωσιν· οἱ δ' Ἀθηναῖοι ἐξῆλθον Εὐβοεῦσι συμμαχήσοντες· καὶ συμβαλόντες, ἐνίκησαν τότε· ὥστε καὶ στενοὺς αὐτοὺς διατεθῆναι ὑπὸ τῶν στρατηγῶν, ἵνα λαβόντες τότε ἀναχωρήσωσιν· ἐπανελθόντες δ' ἐκ τῆς μάχης, εὗρον ἐν ταῖς Ἀθήναις δύο

καὶ Στρεψικλῆς, ἐπὶ τετὶ τὸ βῆμα, κελεύσοντες ὑμᾶς [1] ἐκπλεῖν, καὶ παραλαμβάνειν τὴν πόλιν, τὴν αὐτὴν παρειχόμεθ' ἡμεῖς καὶ ὑπὲρ ἡμῶν αὐτῶν προθυμίαν ὑπερ ὑπὲρ τ[2] τῶν Εὐβοέων σωτηρίας· εἰχεῖ' ἂν Ἀμφίπολιν τότε, καὶ πάντων τῶν μὴ ταῦτα ἂν ἦτε ἀπηλλαγμένοι πραγμάτων. Καὶ πάλιν ἠνίκα Πύδνα, Ποτίδαια, Μεθώνη, Παγασαὶ, τἄλλα (ἵνα μὴ καθ' ἕκασα λέγων διαλείβω) πολιορκούμενα ἀπηγγέλλετο· εἰ τότε τούτων ἑνὶ τῷ πρώτῳ προθύμως, καὶ ὡς προσῆκεν, ἐβοηθήσαμεν αὐτοί· ῥᾴονι καὶ πολὺ ταπεινοτέρῳ

1 πολιν, 2 Deest τῶν.

## ΣΧΟΛΙΑ.

δύο περίοδος τῶν 1 Ἀμφιπολιτῶν, Ἡράκλα καὶ Στρατοκλέα, παρακαλέσας ὥστε ἐξελθεῖν λαβεῖν τὴν Ἀμφίπολιν πολιορκουμένην ὑπὸ Φιλίππου.

πελεύσοντες] Προτρεψόμενοι.

εἰχεῖ' ἂν] Σχεδιάζοντος· ὥσπερ καὶ ὀδυρομένου τὸ ῥῆμα, ὅτι διὰ ῥᾳθυμίαν μόνην τότε Ἀμφίπολιν ἀπώλεσαν.

πραγμάτων] Ὧν ὑπὸ Φιλίππου πιπόνθασι.

Καὶ πάλιν] Ἐν τάχει καὶ ἄνευ συνθέσεως καιρικῆς τὰ χρήσιμα, δεδιὼς μὴ μέγαν καταγνῶσι τὸν Φίλιππον· τὰ δὲ λοιπὰ λέγει παρρησιαζόμενος, διὰ τὸ μὴ φοβεῖσθαι τὸν δῆμον.

Πύδνα] Ἡ νῦν Βίῤῥοια.

Ποτίδαια] Τὸ νῦν Κύτρος.

πολιορκούμενα] Ὑπὸ Φιλίππου.

ἑνὶ τῷ πρώτῳ] Ὥσπερ ἀντὶ-

1 Ἀμφιπολιτῶν, παρ.——Ἀμφίπολιν Στρατοκλέα, πολ.

πιπ.ον

τέρῳ νῦν ἂν ἐχρώμεθα τῷ Φιλίππῳ. Νῦν ὃ τὸ μὲν παρὸν ἀεὶ περιέμψομαι, τὰ δὲ μέλλοντα αὐτόματα οἰόμεθα χήσειν καλῶς, ἢν πύξήσαμεν, ὦ ἄνδρες Αθηναῖοι, Φίλιππον ἡμεῖς, καὶ καλεσήσαμεν τηλικοῦτον, ἡλίκος οὐδείς πω βασιλεὺς γέγονε Μακεδονίας. Νυνὶ δὲ καιρὸς ἦκε. Τίς οὗτος; Ὁ τῶν Ολυνθίων αὐτόματος τῇ πόλει, ὃς οὐδενός ἐστιν ἐλάττων τῶν [1] πρότερον ἐκείνων.

ε. Καὶ ἔμοιγε δοκεῖ τις ἂν, ὦ ἄνδρες Αθηναῖοι, δίκαιος λογισὴς τῶν ὅλων τῶν θεῶν ἡμῖν ὑπηργμένων καλασὰς, καίπερ οὐκ

1 προτέρων.

## Σ Χ Ο Λ Ι Α.

πιστον λύσει· ἵνα μὴ εἴπῃ ὁ Αθηναῖος, καὶ πῶς ἠδυνάμην τοσούτοις ἐν τῷ αὐτῷ βοηθῆσαι; ἐπάγει ὡς εἰ ἑνὶ μόνῳ τῷ πρώτῳ προθύμως ἐβοηθήσαμεν, οὐκ ἂν τὸ δευτέρῳ ἤψαλο.

Νῦν ἂν ἐχρώμεθα] Τοῦτο σημαντικόν ἐστι τῆς Φιλίππου ταπεινότητος· καθ' ὃν γὰρ ἐξουσίαν ἔχομεν ὅ,τι βουλόμεθα πράττειν, καλὸν τοῦτον τὸ χρῆσθαι λέγομεν, ὅτι τὰ δεόμενα ἡμῖν ὑπουργοῦσι.

τὰ δὲ μέλλοντα] Ὥστε ἐγὼ χράφω καὶ παρακινδύνευσον ἡμῖν ἐν ταῦτα τῶν ἀργῶν τι καὶ ῥαθύμων τὴν φύσιν. Αὐτόματα δὲ, ἀντὶ τοῦ ἀπὸ τύχης τινός.

καὶ πύξήσαμεν,] Βούλεται διὰ τούτου δεῖξαι, ὅτι ἐν αὐτοῖς ἐστι καὶ νῦν αὐτὸν καθελεῖν διὰ τῆς σπουδῆς, ὥσπερ καὶ ἐν αὐτοῖς ἐγένετο τὸ ποιῆσαι αὐτὸν μέγαν διὰ τῆς ῥαθυμίας.

ἦκε. Τίς οὗτος;] Τινὸς τὸ τίς, κατ' ἐρώτησιν, τὸ δὲ οὗτος, καὶ ἀπόκρισιν λαμβάνουσιν· ἄλλος δὲ τὸ

ὐκ ἐχόντων ὡς δεῖ πολλῶν, ὅμως μεγάλως ἂν ἔχειν αὐτοῖς χάριν· εἰκότως. Τὸ μὲν γὰρ πολλὰ ἀπολωλεκέναι ἢ τὸν πόλεμον, τ' ἠμελέρας ἀμελείας ἄν τις θείη δικαίως· τὸ δὲ μήτε πάλαι τοῦτο πεπονθέναι, πεφηνέναι τέ τινα ἡμῖν συμμαχίαν τούτων ἀνήρροπον, ἂν βουλώμεθα χρῆσθαι, τ' παρ' ἐκείνων διανοίας διεργέτημ' ἂν ἔγωγε θείην. Ἀλλ', οἶμαι, παρόμοιόν ἐστιν, ὅπερ ἢ ὠφελεῖ τ' τῶν χρημάτων κλήσεως· ἂν μὲν γὰρ ὅσα ἄν τις λάβῃ, ἢ σώσῃ, μεγάλως ἔχει τῇ τύχῃ τινὶ χάριν· ἂν δ' ἀναλώσας λάθῃ, συναναλῶσε

## ΣΧΟΛΙΑ.

τὸ τις, ἐγκλιτικῶς λαμβάνουσιν. Ὁρα δὲ πῶς ἀθυμίας αὐτὸς πληρώσας διὰ τῆ καταλόγῳ τῶν ἀπολωλεκότων χωρίων, πάλιν παραμυθήσαλο, διὰ τὸ εἶπεῖν, πάλιν ἔχει καιρὸς ἢ χείρων ἐκείνω.

ἐκείνων.] Ὧν ἄνω ἔφη.

λογιστὴς] Λογιστὴν λέγει, οἱονεὶ κριτὴν, ἵνα κρίνῃ τὰ παρὰ τῶν θεῶν αὐτοῖς ὑπηργμένα. προδιδομένα δὲ παρὰ τῆς αὐτῶν ἀμελείας.

ὐκ ἐχόντων] Διὰ τὴν ἡμῶν ῥαθυμίαν.

Τὸ μὲν γὰρ πολλὰ ἀπολωλεκέναι] Τὸ σχῆμα παρίσωσις καλὰ κῶλον.

μήτε πάλαι] Ἤγουν, ἐν τοῖς προλέγοις χρόνοις. ἀλλ' ὕστερον ἡνίκα ἂν ἡμελήσαμεν.

συμμαχίαν] Τῶν θεῶν.

τούτων] Ὧν ἀπωλέσαμεν ἀντάξιον· τὸ δὲ ἀντίρροπον, πρὸς γυμνήν· τὸ δὲ ἰσόρροπον, πρὸς δεδεμένην.

Ἀλλ', οἶμαι] Παραβολή.

ἂν μὲν γὰρ] Ἀλληγορεῖ, τὸ σχῆμα κάλλιος ποιητικόν.



Digitized by Google

ανάλωτε ϗ τὸ μεμνῆσθαι τῇ τύχῃ τιλὼ χάριν. Καὶ περὶ τῶν πραγμάτων ὅτως. ⓐ μὴ χρησάμενοι τοῖς καιροῖς ὀρθῶς, ἀλλ', εἰ ζωίδη τι περὶ τῶν θεῶν χρησὸν, μνημονεύουσι. Πρὸς γὰρ τὸ τελευταῖον ἐκβὰν ἕκαστον τῶν πεπραγμένων ὡς τὰ πολλὰ κείνε). Διὸ ϗ σφόδρα δεῖ τῶν λοιπῶν ἡμᾶς, ὦ ἄνδρες Αθηναῖοι, φρονίσαι, ἵνα ταῦτ' ἐπανορθωσάμενοι τιλὼ ΔΗ τοῖς πεπραγμένοις ἀδοξίαν ἀποτειψώμεθα. Εἰ δ' ὃ προησόμεθα, ὦ ἄνδρες Αθηναῖοι, καὶ τούτους τοὺς ἀνθρώπους, εἶτ' Ολυνθον ἐκεῖνον καλασρέψε). Φρασάτω τις ἐμοὶ, τί τὸ κωλύον ἔτ' αὐτὸν

## ΣΧΟΛΙΑ.

οἱ μὴ χρησαμ.] Ὡσπερ ἡμεῖς.

ἐκβὰν] Εἴ τι χρηςὸν, εἴτε φαῦλον.

ἐπανορθωσάμενοι] Εἰς ἐπανόρθωσιν ἀγαγόντες, λέγω δὲ τὸ σπεῦδειν ϗ φρονίδα τούτων ποιεῖσθαι, ὅπερ, ἐξαρχῆς εἰς ἄκρον τῇ πόλει σωφυκὸς, νῦν ἠμελήθη· διὸ ϗ δεῖται ἐπανορθώσεως.

ἀποβριψώμεθα] Οἱονεὶ, ἐκκαθάρωμεν ϗ ἀποπλύνωμεν· ὡς ἀπὸ μεταφορᾶς τῆς κηλίδος, τῆς γενομένης ἀκαθαρσίας περὶ τὴν ἐσθῆτα.

Φρασάτω τις] Πάλιν τὸ ἀξιόπιστον φρόνημα τηρῶν, εἶπεν ἐμοὶ, οἷον, τῷ φιλοπόλιδι.

ὅποι βέλτιαι] Εὐφήμως εἶπε τὰς Αθήνας, τῇ ὑποσωπήσει σώζειν χρησάμενος.

Μετὰ ταῦτα] Τὸ μετὰ ταῦτα, ϗ εἶτα. ϗ αὖθις, ϗ πάλιν, ϗ τὰ τοιαῦτα μόρια, βραδυτῆτα δείκνυσι· μιμεῖται γὰρ ἀεὶ τὴν τῶν πραγμάτων φύσιν ϗ διὰ τῆς λέξεως ὁ ῥήτωρ ϗ βουληθεὶς ὑπιότιμα δεῖξαι



Digitized by Google

αὐτὸν ἔξαι βαδίζειν ὅποι βέλεται;

ς'. Ἀρά γε λογίζεταί τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεωρεῖ τὸν τρόπον, δι' ὃν μέγας γέγονεν, ἀσθενὴς ὢν τοπαλαρχὰς, Φίλιππος; Τὸ πρῶτον Ἀμφίπολιν λαβὼν, μετὰ ταῦτα Πύδναν, πάλιν Ποτίδαιαν, Μεθώνην αὖθις, εἶτα Θετταλίας ἐπέβη. Μετὰ ταῦτα Φερὰς, Παγασὰς, Μαγνησίαν, πάνθ' ὃν ἐβούλετο διαπεπρακὼς τρόπον, ὤχετ' εἰς Θρᾴκην· εἶτ' ἐκεῖ, τὸν μὲν ἐκβαλὼν, τὸν δὲ καθαιρήσας τῶν βασιλέων, ἠθένησε· πάλιν ῥαΐσας, οὐκ ἐπὶ τὸ ῥᾳθυμεῖν ἀπέκλινεν, ἀλλ' αὖθις Ὀλυνθίοις ἐπεχείρησε.

## ΕΧΟΛΙΑ.

διξαι καὶ ἀσθένειαν οὖσαν ἐν τοῖς Φιλίππου πράγμασιν, ὕπλιον καὶ τὸν λόγον ἐποίησε τῇ τῶν μορίων προσθήκῃ· τῷ μὲν γὰρ αὐξοῦσθαι τὴν Φιλίππου δύναμιν, ἦν ἔτω προάγουν, Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν, Μεθώνην, Ἰλλυριοὺς, Θρᾴκην· ἡ γὰρ συνέχεια τῶν ὀνομάτων, ἀκμὴν ἔχουσα, τὴν ὑπερβολὴν τῆς δυνάμεως δείκνυσιν, ὥσπερ οὐκ ἀρκοῦσθαι τῷ χρόνῳ πρὸς τὰς τῶν πόλεων ἁλώσεις· τῷ δὲ ὑπιάζοντι, τὸ προαγαγεῖν ὡς ἐν ἰσορίᾳ τὸν λόγον, ὥστε καὶ ἡ δοκοῦσα τῷ λόγῳ κακία, χρείαν τινὰ καλορθοῦσα, θαυμαστὸν δείκνυσι τὸν ῥήτορα· τέχνης γάρ ἐστιν ἀκριβεία τὸ ἐπιγνῶναι τὸν καιρὸν ἐν ᾧ τοῦτο πρωτέον ποιεῖν.

ἐπέβη] Τὸ ἐπέβη καὶ ἐπεβαίνω, πρὸς γενικήν· τὸ δὲ ἐπεμβαίνω καὶ ἐπεμβαίνω πρὸς δοτικήν.

ὤχετ' εἰς Θρᾴκην] Ἐπέστρεφε.

πάλιν ῥαΐσας] Οὐ τὸ ὑγιάσας σημαί-

χείρησε. Τὰς ὃ ἐπ' Ἰλλυριοὺς καὶ Παίονας αὐτῷ, καὶ πρὸς Ἀρύμβαν, καὶ ὅποι τις ἂν εἴποι, ὡδαλείπω στρατείας. Τί οὖν, ἂν τις εἴποι, ταῦτα λέγεις ἡμῖν νῦν; Ἵνα γνῶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ αὐθηδε ἀμφότερα, καὶ τὸ προῖξαι καθ' ἕκαστον αἰεί τι τῶν πραγμάτων ὡς ἀλυσιτελές, καὶ τὴν φιλοπραγμοσύνην ἣ πρὸς ἅπαντας χρῆ) καὶ συζῆ Φίλιππος, ὑφ' ἧς οὐκ ἔστιν ὅπως, ἀγαπήσας τοῖς πεπραγμένοις, ἡσυχίαν ἄξει. Εἰ δ' ὁ μὲν, ὡς αἰεί τι μεῖζον τῶν ὑπαρχόντων

## ΣΧΟΛΙΑ.

σημαίνει, ἀλλ' ὥσπερ κυφότερον ἔχων εἰς τὴν νοσήμαλον, ἵνα τὴν πολιτείαν δείξῃ τῆ Μακεδόνος, καὶ τὸ μηδένα καιρὸν ἐθέλειν ἡσυχάζειν.

Ἰλλυριοὺς] Εθνη βάρβαρα περὶ Μακεδονίαν, ἵνα δείξῃ ὅτι οὐδὲ Βαρβάρων ἐφείσατο βάρβαρος ὤν.

πρὸς Ἀρύμβαν,] Οὗτος βασιλεὺς ἦν Μολοσσῶν, Ὀλυμπιάδος δὲ τῆς τῶ Φιλίππου γυναικὸς θεῖος· φησὶ δὲ ὅτι οὐδὲ συγγενῶν φείδεται, διὰ τὸ βούλεσθαι πάντων κρατεῖν ὁ Φίλιππος.

Τί οὖν, ἂν τις εἴποι,] Στίζουσίς εἰς τὸ, Τί οὖν, ἂν τις εἴποι, ἐπιφέρουσι ταῦτα λέγεις ἡμῖν. Τὸ σχῆμα ἀνθυποφορά. Διαφέρει δὲ ἀνθυποφορὰ, ἀνθιστίωσις, καὶ ἀντίστασις· ἀντίστασιν μὲν γάρ ἐστιν, ὅταν εἴδῃ ὡς ὅτι μέλλει αὐτῷ τι ἀντιστήσων ὡς ἄτοπόν τι λέγοντι, καὶ ἐκπεριθώσεται ἑαυτὸν ἀπροσκόπτως, καὶ ὥσπερ λεληθότως· ἀνθυποφορὰ δὲ, ὅταν μέρος μὲν ὥσπερ καταδέχηται τῆ λεγομένῳ ὁ ἀκροατὴς, ἀμφιβάλλῃ δὲ περὶ τὸ λοιπόν· ὡς ἐνταῦθα, ὥσπερ τινὸς λέγοντος, ὅτι καλῶς μὲν λέγεις· ταῦτα γὰρ 2 ἔχειν τὸν Φίλιππον· ἀκαίρως δέ· οὐδὲ γὰρ εἰσῆλθες καταλέγειν ἡμῖν τὰ τῆ Φιλίππου πράγματα, ἀλλὰ τί δεῖ

1 Μολοσσῶν.

2 ἔχει.

σωῆσαι

χόντων δεῖ περάτειν, ἐγνωκὼς ἔσαι· ὑμεῖς δ', ὡς ὐδενὸς ἀνιλιπλέον ἐρρωμένως τῶν πραγμάτων· σκοπεῖτε, εἰς τί πόλε ἐλπὶς ταῦτα τελευτῆσαι. Πρὸς Θεῶν, τίς ἔτως ἀνήθης ἐσὶν ὑμῶν, ὅσις ἀγνοεῖ τὸν ἐκεῖθεν πόλεμον δεῦρο ἥξοντα, ἂν ἀμελήσωμεν; Ἀλλὰ μὴν εἰ τῦτο γνήσετε, δέδοικα, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τὸν αὐτὸν τρόπον, ὥσπερ οἱ δανειζόμενοι ῥαδίως ἐπὶ τοῖς μεγάλοις τόκοις, μικρὸν ἀπορήσαντες χρόνον, ὕστερον καὶ τῶν ἀρχαίων ἀπέσησαν· ἔτω καὶ ἡμεῖς ἂν ἐπὶ

ΣΧΟΛΙΑ

ποιῆσαι περὶ Ολυνθον· ἐπάγει ὅτι καὶ ταῦτα χρήσιμά ἐσι πρὸς τὴν παρῦσαν ὑπόθεσιν· ἀντίθεσις δὲ, ὅταν ἀπό τινος κεφαλαίε ὁρμᾶται, οἷον ἀπὸ δικαίε, ἢ συμφέροντος, ἢ τινος τῶν τοιύτων· ἵνα δὲ μὴ προσκορῆ τὸν λόγον ἐργάζηται, ἀποτάδην λέγων, ἐπάγει τινὰ ἡδονὴν διὰ τῆς φλάσεως τῦ προσώπε τῦ ἀντιλέγοντος, καὶ ἵνα ὥσπερ ἀναιτήμενος καὶ ἀναξιούμενος παρ' ἄλλε, καὶ ἐξ αὐτῦ ἐπιφέρειν δοκῇ τὴν ἐπιλίμνησιν.

ἀγαπήσας] Ἀρκεσθείς.

τίς ἔτως ἀνήθης] Τεχνικῶς τῦτο ἠρώτησεν, ἵνα ἴκανος, φιλόνεικος ὢν καὶ ἀπαλαψηφίσασθαι αὐτῦ ἄρκειαν, συνομολογήσῃ τῷ ῥήτορι ὡς ἀληθῆ λέγοντι.

ἐκεῖθεν] Ἐκ τῆς Ολύνθε.

πόλεμον] Ἀλλὰ προσώπε πρᾶγμα ἔλαβεν· ἐ γὰρ ἔπεν, ἐλεύσονται οἱ πολέμιοι καθ' ἡμῶν, ἀλλ' ὁ πόλεμος. Σύνηθες δὲ τῦτο καὶ Θεκυδίδῃ ποιεῖν, καὶ μεταλαμβάνειν, ἢ ἀντὶ προσώπε πρᾶγμα, ἢ πρόσωπα πάλιν ἀντὶ πραγμάτων· αἱ γὰρ τοιαῦται τῶν λέξεων ἐναλλαγαὶ, καινοπρεπέσαν τῷ λόγῳ παρέχυσι.

τῶν ἀρχαίων] Ἤτοι τῶν ἐνεχύρων· ἀρχαῖα γὰρ τὰ ἐνέχυρα καὶ



Digitized by Google

ἐπὶ πολλῷ φανῶμεν ἐῤῥᾳθυμηκότες, καὶ ἄπαντα πρὸς ἡδονὴν ζητοῦντες, πολλὰ καὶ χαλεπὰ, ὧν οὐκ ἠβουλόμεθα, ὕστερον εἰς ἀνάγκην ἔλθωμεν ποιεῖν, καὶ κινδυνεύσωμεν περὶ τῇ ἐν αὐτῇ τῇ χώρᾳ.

ζ. Τὸ μὲν ἐν Ἐπιμαῖν, ἴσως φήσει τις ἂν ῥᾴδιον καὶ παντὸς εἶναι· τὸ δ' ὑπὲρ τῶν παρόντων ὅτι δεῖ περᾶτέον ἀποφαίνεσθαι, τοῦτ' εἶναι συμβάλλω. Ἐγὼ δὲ οὐκ ἀγνοῶ μὴ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ', ὅτι πολ-

ΣΧΟΛΙΑ.

τὰς ὑποθήκας ἐν πολλοῖς ὁ Δημοσθένης εἶπε. Τινὲς δὲ ἐξηγοῦνται αὐτὸ, οὐκ ἐπὶ τῶν δανειζομένων, ἀλλ' ἐπὶ τῶν δανειζόντων, λέγοντες, πολλάκις τοὺς παῤῥησιαστικοὺς αὐτὶ ἐνεργητικῶν χρῆσθαι τὰς Ἀθηναίους· καὶ λύσιν ἀρχαῖαν αὐτὰ τὰ κεφάλαια· μὴ δυνάμενοι γὰρ, φησὶν, ἀποδοῦναι πολλὰς τόκους, ὕστερον εἰς χρεωστοῦντες φεύγεσι· καὶ ἔτως αἱ δανεισταὶ μέλλα τῶν τόκων καὶ τὰ κεφάλαια ἀπολλύουσιν.

ἐπὶ πολλῷ] Ἀντὶ τοῦ, ἐπὶ πολλῷ τόκῳ· ἵνα τόκον λάβωμεν, τὴν ἀργύριον καὶ ῥᾳθυμίαν· κεφάλαιον δὲ, αὐτὴν τὴν πόλιν.

ἐῤῥᾳθυμηκότες,] Οὐχ ἁπλῶς ἠμεληκότες· ὁ γὰρ τοῦτο σημαίνει ἡ λέξις· ἀλλὰ μᾶλλον τὴν ἄνεσιν καὶ τὴν ἐν ἡδονῇ διαγωγήν.

εἰς ἀνάγκην] Σύνηθες τοῖς ῥήτορσι, τῶν μὲν λυπηρῶν καὶ αὐτὸν μισέχοντα δεικνύναι, τῶν δὲ ἀγαθῶν τὴν αἰτίαν ὁλόκληρον ἀποτίμιον τῇ πόλει· καὶ δύναιτο τοῦτο πολλὴν αὐτῷ παρὰ τῶν ἀκροατῶν καταστασιάζειν τὴν εὔνοιαν.

Τὸ μὲν ἐν Ἐπιμαῖν.] Μικρὸν τὸ προοίμιον, ἐκ τε δυναῖς καὶ συμφέροντος· μελιὸν γὰρ ἐφ' ἕτερον κεφάλαιον, ἢ παντελῶς ἰδιάζον, τὸ προοίμιον ἔλαβεν, ἵνα μὴ καθάπερ ἐσχισμένος ὁ λόγος φαίνηται, τὴν μὲν ἀρχὴν ποιησάμενος ἐξ ὧν λέγων ἐπαύσατο, λέγω δὴ, τοῦ συμφέροντος· τὸ δὲ ἐνθύμημα, καὶ τὴν ἐπαγωγὴν, ἐκ τοῦ δυνατοῦ· διὸ καὶ τὸ προοίμιον ἔλαβε. Διαφέρει δὲ τὰ τῶν κεφαλαίων προοίμια, τῶν ἐν αὐταῖς ταῖς ἀρχαῖς· ὅτ

ι ἰδιάζον τὸ πρ.

ἐκείνατ

πολλάκις ὑμεῖς, οὐ τοὺς αἰτίους, ἀλλὰ τοὺς ὑστάτους περὶ τῶν πραγμάτων εἰπόντας ἐν ὀργῇ ποιεῖσθε, ἂν τι μὴ κατὰ γνώμην ὑμῖν ἐκβῇ· οὐ μὴν οἶμαί γε δεῖν τὴν ἰδίαν ἀσφάλειαν σκοπεῖν ὑποτελεῖς περὶ ὧν ὑμῖν συμφέρειν ἡγοῦμαι. Φημὶ δὴ, δίκῃ βοηθητέον εἶναι τοῖς πράγμασιν ὑμῖν, καὶ τε τὰς πόλεις τοῖς Ολυνθίοις σώζειν, καὶ τοὺς τοῦτο ποιησοντας σφαλιωτάτας ἐκπέμπειν· καὶ τὰ τὴν ἐκείνου χώραν

## ΣΧΟΛΙΑ.

